17. θρώπους διαπαντός. δι' ἐτῶν δὲ πλειόνων
παρεγενόμην ἐλεημοσύνας ποιήσων εἰς τὸ
18. ἔθνος μου καὶ προσφοράς. ἐν οἷς εὗρόν
με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου,
οὐδὲ μετὰ θορύβου, τινὲς ἀπὸ τῆς Ἀσίας
19. Ἰουδαῖοι· οὓς * δεῖ ἐπὶ σοῦ παρεῖναι, καὶ
κατη-

telligitur enim lex Mosaica cum ceteris libris V. Test. exceptis prophetis. Κατὰ νόμον γεγραμμένα, sunt ἐνομῶς γεγραμμένα, quod non est huius loci. Puerile est ignorare, τοῦτό μοι γέγραπται notare, *hoc a me scriptum est.*

15. νεκρῶν] — Scilicet Chrys. IX, 373. a. νεκρῶν et οὗτοι omittit. Meorum nullus omnino omittit.

16. δὲ] καὶ t δὲ καί. E. Chrys. l. l.
ἔχειν] ἔχων. Chrys. bis. 373. 375.
πρὸς] + τε. Chrys. ll. ll. ita, et semel, καὶ πρὸς τούς.

17. παρεγενόμην] reiicitur post ἔθνος μου. E. Vulg. Chrys. 373. Tamen etiam sic transponit 415. a. Hunc locum ergo variarum lectionum venatores indagarunt *odora canum vi.*

18. ἐν οἷς] ἐν ἅις. E. Bis οἷς Chrys. 373. Ex meis solus l. Casu fortasse, aut per negligentiam. Ceteri non intelligebat, ἐν οἷς esse, *in quo negotio, quo officio fungentem invenerunt me.* v. 26, 12.
τινὲς] + τῶν t + δὲ τῶν t + δέ. E.

19. ἔδει] δεῖ. Lenius et humanius est, ἔδει· δεῖ est eius, qui iure suo, quae iusta sunt, postulat. Grae-

citas

κατηγορεῖν, εἴ τι ἔχοιεν πρός με· ἢ αὐτοὶ 20.
δυτοι εἰπάτωσαν, * τί εὗρον ἐν ἐμοὶ ἀδίκη-
μα, στάντος μου ἐπὶ τοῦ συνεδρίου, ἢ περὶ 21.
μιᾶς ταύτης φωνῆς, ἧς ἔκραξα ἑστὼς ἐν
αὐτοῖς· ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ
κρίνομαι σήμερον ὑφ' ὑμῶν. ἀκούσας δὲ 22.
ταῦτα ὁ Φῆλιξ ἀνεβάλετο αὐτοὺς, ἀκρι-
βέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἰπών·
ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώ-
σομαι τὰ καθ' ὑμᾶς. διατάξάμενός τε 23.
τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν παῦλον,
ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν
ἰδίων αὐτοῦ ὑπηρετεῖν ἢ προσέρχεσθαι αὐ-
τῷ.

citas utroque modo conſtat. Sed εἴδει mox poſtulabat etiam ἔιχον, poſt δεῖ poteſt eſſe, vel ἔχουσι, vel ἔχοιεν. Chryſ. optionem dat. Nam IX, 373. b. habet εἴδει. 374. d. δεῖ. Ath. I, 156. εἴδει τοὺς ἀπὸ τῆς ἀσίας ἰουδαίους ἐπὶ σοῦ — ἔχοιεν.

29. εἴ τι] τί.

22. ἀκούσας — αὐτοὺς] ἀνεβάλλετο (ἀνεβάλετο) δὲ αὐτοὺς ὁ φῆλιξ. E. Chryſ. IX, 379. a. b. ἀνεβάλετο δὲ ὁ φῆλιξ αὐτοὺς, in principio homiliae, ubi iſta, ἀκούσας δὲ ταῦτα aliena et obſcura fuiſſent. Iſtud ταῦτα enim in proxime antecedente homilia interpretatus fuerat. Nullus omnino meorum praetermittit praeter l. qui ſolus etiam ἀκριβέστερον repetit, ante διαγνώσομαι. Vide hic 26, 30.

23. τε τῷ] τε — E.

τὸν παῦλον] αὐτόν. E.

προσέρχεσθαι] — E.

24. τῷ. μετὰ δὲ ἡμέρας τινὰς παραγενόμενος
ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ γυναικὶ αὐτοῦ,
οὔσῃ Ἰουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον,
καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν πί-
25. στεως. διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιο-
σύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος
τοῦ μέλλοντος ἔσεσθαι, ἔμφοβος γενόμενος
ὁ Φῆλιξ, ἀπεκρίθη· τὸ νῦν ἔχον πορεύου·
καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε.
26. ἅμα * καὶ ἐλπίζων, ὅτι χρήματα δοθήσε-
ται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ αὐ-
τόν· διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμ-
πόμενος, ὡμίλει αὐτῷ.

ΔΖ.

24. τῇ γυναικὶ αὐτοῦ] αὐτοῦ — A. τῇ ἰδίᾳ γυναικί. E. Alii ergo ἰδίᾳ, alii αὐτοῦ addiderunt, alii etiam utrumque.

χριστόν] + Ἰησοῦν. E.

25. τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι] ἔσεσθαι — E. Semel vulg. Chryſ. IX, 379. d. ſemel ib. e. τὸν μέλλοντος κρίματος ἔσεσθαι. Attingit XI, 64.

μεταλαβὼν] λαβὼν τ παραλαβών. E. μεταλ. et λαβὼν Chryſ. IX, 379. d. 382. b. Μεταλαβεῖν tam cum acc. quam cum gen. occurrit.

26. δὲ καὶ] δὲ —

ἐλπίζων] Sic, et mox προσδεχῶν. Chryſ. IX, 379, d. bis. Commodiores criticos, quam Patres graecos, non inveni. Quidlibet cuilibet permitunt legere.

ὅπως λύσῃ αὐτὸν] ἵνα ἀπολύσῃ αὐτὸν τ —. Praetermittit ſecundo loco Chryſ. II. II.

ὡμίλει] διελέγετο. E. Id in nullo meorum reperi. Sed nec Birch. Graeci facile iſta permutant.

ΛΖ. περὶ τῆς Φήλικος διαδοχῆς καὶ τῆς Φήστου προαγωγῆς, τῆς τε ἐπ' αὐτοῦ ἀναρρίσεως παύλου καὶ ἐφέσεως.

['Αρχή.] διετίας δὲ πληρωθείσης, ἔλαβε 27. N.
διάδοχον ὁ Φῆλιξ πόρκιον Φῆστον· θέλων τε
χάριτας καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆ-
λιξ, κατέλιπε τὸν παῦλον δεδεμένον.
Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς XXV, 1.
ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ καισα-
ρείας. ἐνεφάνισαν δὲ αὐτῷ ὁ ἀρχιερεὺς 2.
καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ παύ-
λου, καὶ παρεκάλουν αὐτόν, αἰτούμενοι 3.
χάριν κατ' αὐτοῦ, ὅπως μεταπέμψηται
αὐτὸν

XXIV, 27.—XXVI, 32. N. Ἐν τισι. τῃ ε. τῆς ζ. ἐβδ. ἐ. τ. ἡ. ἐ. μεταπεμψάμενος τὸν παῦλον Φῆλιξ ὁ ἡγεμὼν, ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς χριστὸν πίστεως. διετίας.

27. θέλων τε] θέλων δέ. E.

χάριτας] χάριν. E. δὲ et χάριν. Chryſ. IX, 380. b. Ex 25, 9. ubi contra Wetſt. A. intulit χάριτα.

XXV. 2. ἐνεφάνισαν] ἐνεφάνησαν. E. Hic vulgatum habet Chryſ. IX, 380. b. 382. c. ac ſemel τε, loco δέ.

ὁ ἀρχιερεὺς] οἱ ἀρχιερεῖς. E. Chryſ. IX, 380. b. οἱ ἀρχιερεῖς οἱ. 382. c. ὁ, τε ἀρχιερεὺς καὶ οἱ.

3. κατ'] παρ'. E. Chryſ. l. l. 380. c. mox idem ἔνδεον, ut ſupra.

ἐν τῷ ἀνδρὶ τούτῳ] ἄτοπον ἐν τῷ ἀνδρὶ (τούτῳ) τ ἐν τῷ ἀνδρὶ τούτῳ ἄτοπον. E. ἄτοπον non agnoſcit Chryſ. l. l. 380. c. Incerta ſedes ſuſpectum reddit τὸ ἄτοπον. Facile intelligi poterat ἔγκλημα et alia ſimilia. Placuit quibusdam ἄτοπον, ex locis

αὐτὸν εἰς Ἱερουσαλήμ· ἐνέδραν ποιοῦντες ἀνε-
4. λεῖν αὐτὸν κατὰ τὴν ὁδόν. ὁ μὲν οὖν
Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον ἐν
Καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκ-
5. πορεύεσθαι. οἱ οὖν δυνατοὶ ἐν ὑμῖν, φησὶ,
συγκαταβάντες, εἴ τι ἐστὶν ἐν τῷ ἀνδρὶ τού-
6. τῳ, κατηγορείτωσαν αὐτοῦ. διατρίψας
δὲ ἐν αὐτοῖς ἡμέρας πλείους ἢ δέκα, κα-
ταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθί-
σας ἐπὶ τοῦ βήματος ἐκέλευσε τὸν Παῦλον
7. ἀχθῆναι. παραγενομένου δὲ αὐτοῦ, πε-
ριέστησαν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκό-
τες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιάματα
φέρον-

cis ſimilibus. Ex quatuor poſtremo examinatis ſolus 13. habet ἄτοπον. Duo apud Weſt. id. habent, loco τούτῳ, ex *emendatione*. Immo, ex *corruptione*.

6. πλείους ἢ δέκα] οὐ πλείους ὀκτὼ ἢ δέκα. E. Ex meis ſoli 1. et 13. Semel vulg. ſemel πλείους ἢ abeſt. Chryſ. IX, 380. c. 382. d. Redolent iſta Origenem, cuius tamen in Actus commenta interciderunt. Ex traditione vetulanum id, ut alia plura hiſtorica, genealogica et geographica acceperat. Codices non nulli graeci hic interpolati ſunt ex vulgata latina. Vix tamen id convenire videtur in meum 13. multo vero minus in 1. Ad illud etiam addendendum. Ex non nullis pro δέκα laudatur ὀκτὼ, hoc eſt, ι et η. Quid, ſi utraque lectio, interpoſito ἢ, deinde iuncta ſit?

7. περιέστησαν] + αὐτῷ t αὐτόν. E.

αἰτιάματα] αἰτιώματα. E. Ita editur etiam apud Chryſ. IX, 380. d. αἰτίαμα apud Aeſchylum et Plutarchum legi. αἰτίωμα, nullibi. Forte in mente habuerunt τὰ αἰτιώμενα.

φέροντες κατὰ τοῦ παύλου, ἃ οὐκ ἴσχυον
ἀποδεῖξαι· ἀπολογουμένου αὐτοῦ, ὅτι 8.
οὔτε εἰς τὸν νόμον τῶν ἰουδαίων, οὔτε εἰς
τὸ ἱερὸν, οὔτε εἰς καίσαρά τι ἥμαρτον.
ὁ φῆστος δὲ τοῖς ἰουδαίοις θέλων χάριν κα- 9.
ταθέσθαι, ἀποκριθεὶς τῷ παύλῳ εἶπε·
θέλεις εἰς ἱεροσόλυμα ἀναβὰς, ἐκεῖ περὶ
τούτων κρίνεσθαι ἐπ' ἐμοῦ; εἶπε δὲ ὁ 10.
παῦλος· ἐπὶ τοῦ βήματος καίσαρος ἑστώς
εἰμι, οὗ με δεῖ κρίνεσθαι· ἰουδαίους οὐδὲν
ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις.
εἰ μὲν γὰρ ἀδικῶ, καὶ ἄξιον θανάτου πέ- 11.
πραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν·
εἰ δὲ οὐδέν ἐστιν, ὧν οὗτοι κατηγοροῦσί μου,
οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι, καί-

σαρα

φέροντες κατὰ] καταφέροντες. E.

8. τι ἥμαρτον] τι — E.

9. κρίνεσθαι] κριθῆναι. E.

ἐπ'] ὑπ'. D. ἐπ' et ὑπ'. Chryſ. IX, 380. d. 383. a.

11. γὰρ] οὖν. E. Utrumque pro more ſuo. Chryſ. l. l. 380. e. 383. c. et ſecundo loco, ἢ ἄξιον. Ergo καὶ et ἤ. Wetſtenius Chryſoſtomum fere ſemper pro alterutro ſolum laudat. Ergo etiam Griesbachius. Ex Chryſoſtomo contra meliores Codices nihil efficitur. Merito maximi facio Chryſoſtomum, propter facundiam haud vulgarem, propter excellens ingenium, propter ſenſum acerrimum honeſti et veri; in re critica autem, mihi quidem, in nullo numero videtur eſſe.

τὸ ἀποθανεῖν] τοῦ ἀποθανεῖν. D. Forte hoc a pluribus, tanquam manifeſtum vitium, non notatum eſt.

12. σαρα ἐπικαλοῦμαι. πότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· καίσαρα ἐπικέκλησαι; ἐπὶ καίσαρα πορεύσῃ.

ΛΖ. ἀγρίππα καὶ βερνίκης παρουσία καὶ πεῦσις τῶν κατὰ παῦλον ἐν ᾧ. παύλου ἀπολογία ἐπ' αὐτῶν, περὶ τῆς ἐν ἰόμῃ θρησκείας αὐτοῦ καὶ κλήσεως εἰς τὸ εὐαγγέλιον. ὡς οὐδὲν ἀδικεῖ ἰουδαίους ὁ παῦλος, ἀγρίππας ἔφη τῷ φήστῳ.

NA. 13. ἡμερῶν δὲ διαγενομένων τινῶν, [Ἀρχή.] ἀγρίππας ὁ βασιλεὺς καὶ βερνίκη κατήντησαν εἰς καισάρειαν, ἀσπασόμενοι τὸν Φῆ-
14. στον. ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν παῦλον, λέγων· ἀνήρ τις ἐστὶ καταλελειμμέ-
15. νος ὑπὸ Φήλικος δέσμιος, περὶ οὗ, γενομένου μου εἰς ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν ἰουδαίων,
16. αἰτούμενοι κατ' αὐτοῦ δίκην. πρὸς οὓς ἀπε-

XXV, 13. NA. τῇ s. τῆς ζ. ἰβδ. ἐ. τ. ἡ. ἐ. ἀγρίππας ὁ βασιλεὺς καὶ βερνίκη.

12. συμβουλίου.] Chryſ. IX, 383. d. explicat, μετὰ τῶν κατηγόρων, ignarus mor[illegible] Romanorum.

13. ἀσπασόμενοι] ἀσπασάμενοι. D. v. P. Forte ergo eum prius Hieroſolymis convenerant, ac lic ad eum Caeſaream pergebant.

14. διέτριβον] διέτριβεν. D. Nimirum rex cum coniuge. In uno tantum id poſtea inveni.

15. ἐνεφάνισαν] ἐνεφάνησαν t ἀνεφάνισαν. E. Sic Chryſ. IX, 381. b. ſed ib. d. ἐνεφάνισαν.

δίκην] κατὰδίκην. E. Ita correctum, quia mos eſt: οὐκ ἔθος ἑωμαίοις χαρίζεσθαι κ. τ. λ.. Primo,

ἀπεκρίθην, ὅτι οὐκ ἔστιν ἔθος ῥωμαίοις χα-
ρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν, πρὶν
ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι
τοὺς κατηγόρους, τόπον τε ἀπολογίας λά-
βοι περὶ τοῦ ἐγκλήματος. συνελθόντων 17.
οὖν αὐτῶν ἐνθάδε, ἀναβολὴν μηδεμίαν ποιη-
σάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήμα-
τος, ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα. περὶ 18.
οὗ σταθέντες οἱ κατήγοροι οὐδεμίαν αἰτίαν
ἐπέφερον, ὧν ὑπενόουν ἐγώ. ζητήματα δέ 19.
τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον
πρὸς αὐτόν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος,
Τέλος τῆς 1. ὃν ἔφασκεν ὁ παῦλος ζῆν. [Τέλος.] ἀπο- 20.
ρούμενος δὲ ἐγὼ * τὴν περὶ τούτου ζήτησιν,
ἔλεγον

mo, saepe in N. Test. δίκη, est καταδίκη, ut κρίμα, est κατάκριμα. Deinde δίκη h. l. potest etiam esse ἐκδίκησις. Vana ergo est correctio.

16. ῥωμαίοις — τινα] ῥωμαίους — τινι. E.

εἰς ἀπώλειαν] — E. Ath. I, 156. Pro hoc laudatur etiam Vulgata. Sed ea non habet *donare*, sed *damnare*. Bis vulgatum Chrys. IX, 381. c. e. ubi deinceps edit: χαρίζεσθαι ἁπλῶς, id est, ἀνεξετάστως, ἀκρίτως. Forte hoc moti sunt aliqui, ut ista omitterent.

18. ἐπίφερον] ἔφερον t ὑπίφερον. E.

ὑπενόων ἐγὼ] + πονηρῶν t + πονηρόν. E. Posterius prorsus ineptum.

20. ἐγὼ ἔις] ἔις —. Vide mox. Intelligitur κατὰ, quod, notum est.

τὴν περὶ] περὶ τήν. E. Sic Chrys. IX, 381. c. ἐγὼ περὶ τὴν τούτου. ib. e. sic, sed τούτων. 384. b. ἐγὼ ἔις τὴν περὶ τούτων. Nonne ergo auctoritate Chrys. quidlibet probare licet?

ἔλεγον, εἰ βούλοιτο πορεύεσθαι εἰς ἱερουσα-
21. λὴμ, κἀκεῖ κρίνεσθαι περὶ τούτων. τοῦ
δὲ παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν
εἰς τὴν τοῦ σεβαστοῦ διάγνωσιν, ἐκέλευσα
τηρεῖσθαι αὐτὸν, ἕως οὗ πέμψω αὐτὸν πρὸς
22. καίσαρα. ἀγρίππας δὲ πρὸς τὸν φῆστον
ἔφη· ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου
ἀκοῦσαι· ὁ δέ· ἄυριον, φησὶν, ἀκούσῃ αὐτοῦ.
23. τῇ οὖν ἐπαύριον, ἐλθόντος τοῦ ἀγρίππα καὶ
τῆς βερνίκης μετὰ πολλῆς φαντασίας, καὶ
εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε τοῖς
χιλιάρχοις, καὶ ἀνδράσι τοῖς κατ' ἐξοχὴν
οὖσι τῆς πόλεως, καὶ κελεύσαντος τοῦ
24. φήστου, ἤχθη ὁ παῦλος. καί φησιν ὁ
φῆστος· ἀγρίππα βασιλεῦ, καὶ πάντες οἱ
συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον,
περὶ οὗ πᾶν τὸ πλῆθος τῶν ἰουδαίων ἐνέτυ-
χόν μοι ἔν τε ἱεροσολήμοις καὶ ἐνθάδε, ἐπι-
25. βοῶντες, μὴ δεῖν ζῆν αὐτὸν μηκέτι. ἐγὼ
δὲ καταλαβόμενος, μηδὲν ἄξιον θανάτου
αὐτὸν

21. πέμψω] ἀναπέμψω. E. Chryſ. 381. d. ἕως ἂν πέμψω.

23. οὖσι τῆς] οὖσι — E. Poterat abeſſe. Habet et omittit. Chryſ. 387. d. e.

24. πᾶν] ἅπαν t — E. Chryſ. 382. d. omittit, habet 388. a.

ἐνέτυχον] ἐνέτυχε. E. Vulgatum, ſed ſemel etiam, συνέτυχον. Chryſ. 388. a. 391. c.

25. καταλαβόμενος] καταλαβόμην. E.

αὐτὸν πεπραχέναι, καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν σεβαστὸν, ἔκρινα πέμπειν αὐτὸν, περὶ οὗ ἀσφαλές τι γράψαι 26.
τῷ κυρίῳ οὐκ ἔχω. διὸ προήγαγον αὐτὸν ἐφ' ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ ἀγρίππα, ὅπως, τῆς ἀνακρίσεως γενομένης, σχῶ τι γράψαι. ἄλογον γάρ μοι δοκεῖ, 27.
πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι. [Ἀρχή.] Ἀγρίππας δὲ XXVI,
πρὸς τὸν παῦλον ἔφη· ἐπιτρέπεταί σοι ὑπὲρ NA.
σεαυτοῦ λέγειν. τότε ὁ παῦλος ἀπελογεῖτο,
Ὑπέρβα εἰς τὸ τῶν ἁγίων. ἐκτείνας τὴν χεῖρα. [Ὑπέρβα.] περὶ 2.
πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ ἰουδαίων, βασιλεῦ ἀγρίππα, ἡγημαι ἐμαυτὸν μακάριον
* ἐπὶ σοῦ μέλλων ἀπολογεῖσθαι σήμερον· μάλιστα γνώστην ὄντά σε πάντων τῶν 3.
κατὰ

XXVI, 1. NA. μαΐου κα. τῶν ἁγίων βασιλέων κωνσταντίνου καὶ ἑλένης· ἐ. τ. ἡ. ἐ. ἀγρίππας ὁ βασιλεὺς τῷ παύλῳ· [πρὸς τὸν παῦλον.] ἔφη· ἐπιτρέπεταί [ἐπιτέτραπταί.]
καὶ αὐτοῦ δὲ] καὶ — E.
26. κυρίῳ] + μου E.
27. δοκεῖ] Chryſ. ſemel, δοκεῖ εἶναι. IX, 388. b.

XXVI, 1. ὑπὲρ] περί. E. Sic alibi.
2. ἐμαυτὸν] ἑαυτόν. E. Per ſe ferri poſſit.
μέλλων ἀπολ. ἐπὶ σοῦ σήμ.] ἐπὶ σοῦ μέλλων ἀπολογεῖσθαι σήμερον. Et Chryſ. 388 d. ſed 391. d. μέλλων ἐπὶ σοῦ ἀπολογεῖσθαι, omiſſo σήμερον.
3. μάλιστα] diverſis in locis hic aliqui inculcant, vel ἐπισάμενος, vel εἰδώς. v. P. Ex 24, 10.
πάντων] — E.

κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων. διὸ δέομαί σου, μακροθύμως ἀκοῦσαί
4. μου. τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ' ἀρχῆς γενομένην ἐν τῷ ἔθνει
μου ἐν Ἱεροσολύμοις, ἴσασι πάντες οἱ Ἰου-
5. δαῖοι· προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην
αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα Φα-
6. ρισαῖος· καὶ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς
πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ
7. θεοῦ, ἕστηκα κρινόμενος· εἰς ἣν τὸ δωδε-
κάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέ-
ραν λατρεῦον ἐλπίζει καταντῆσαι· περὶ ἧς
ἐλπίδος ἐγκαλοῦμαι, βασιλεῦ ἀγρίππα,
8. ὑπὸ * Ἰουδαίων. τί ἄπιστον κρίνεται παρ'
9. ὑμῖν, εἰ ὁ θεὸς νεκροὺς ἐγείρει; ἐγὼ μὲν
οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ
Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι·
10. ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις· καὶ πολλοὺς
τῶν ἁγίων ἐγὼ φυλακαῖς κατέκλεισα, τὴν
παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών· ἀναι-
11. ρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον. καὶ
κατὰ πάσας τὰς συναγωγὰς πολλάκις
τιμωρῶν αὐτοὺς, ἠνάγκαζον βλασφημεῖν·

πε-

6. πατέρας] + ἡμῶν. E. Chryſ. 389. a.
ἕστηκα κρινόμενος] ἕστηκα κατακρινόμενος. E. Hoc non notatum reperi.
7. ὑπὸ τῶν] τῶν —
10. ἐγὼ] + ἐν. E.

περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις. ἐν οἷς καὶ 12.
Ἄρξου τῶν ἁγίων. [Ἄρξου.] πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν ἀρχιερέων, ἡμέρας μέσης, κατὰ τὴν ὁδὸν 13.
εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου, περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. πάντων 14.
δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν τῇ ἑβραΐδι διαλέκτῳ· σαοὺλ, σαοὺλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. ἐγὼ δὲ εἶπον· τίς εἶ κύριε; ὁ 15.
δὲ εἶπεν· ἐγώ εἰμι ἰησοῦς, ὃν σὺ διώκεις. ἀλλὰ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας 16.
σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα, ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι· ἐξαιρούμε- 17.
νός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς * ἐγώ σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς 18.
αὐτῶν,

XXVI, 12. NB. Ἐν τινι καὶ τοῦτο τὸ ἀνάγνωσμα ἦν ἐν· ἐ. τ. ὑ. ἐ. πορευόμενος.

11. περισσῶς] περισσοτέρως. E.

12. ἐν οἷς καὶ] καὶ — E.

14. ἤκουσα — λέγουσαν] ἤκουσα φωνῆς λεγούσης μοι ι ἤκουσα φωνὴν λέγουσαν πρός με ι ἤκουσα φωνῆς λαλούσης πρός με καὶ λεγούσης. E. Varietates sunt ex 9, 4. 22, 7. v. P. Ex quatuor postea examinatis tres habent vulgatum.

17. νῦν] ἐγώ. Sic et postea reperi. Et Chrys. IX, 390. a.

ἀποστέλλω] ἀποστελῶ ι ἐξαποστέλλω ι ἐξαποστελῶ. E.

αὐτῶν, τοῦ * ἀποστρέψαι ἀπὸ σκότους εἰς
φῶς, καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν
θεὸν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν,
καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις, πίστει τῇ
19. εἰς ἐμέ. ὅθεν, βασιλεῦ ἀγρίππα, οὐκ
ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ·
20. ἀλλὰ τοῖς ἐν δαμασκῷ πρῶτον καὶ ἱεροσο-
λύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς ἰου-
δαίας, καὶ τοῖς ἔθνεσιν, ἀπήγγελλον με-
τανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν θεὸν, ἄξια
τῆς μετανοίας ἔργα πράσσοντας. [Τέλος.] Τίλος τῶν βασιλέων.
21. ἕνεκα τούτων με οἱ ἰουδαῖοι συλλαβόμενοι
ἐν τῷ ἱερῷ, ἐπειρῶντο διαχειρίσασθαι.
22. ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ θεοῦ,
ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα, μαρτυ-
ρούμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς
λέγων

18. ἐπιστρέψαι] ὑποστρέψαι D. t ἀποστρέψαι. A. Bis ἀποστρέψαι. Chryſ. l. l. 390. a. et τοῦ ἀνοῖξαι — καὶ (loco τοῦ) ἀποστρέψαι. Ἀποστρέψαι poſtea in quatuor inveni. ἐπιστρέψαι forte eſt ex verſ. 20. tamen ἐπιστρέψαι laudat et repetit Clem. Alex. 315. in edit. Pariſ. et Oxon. ſed nec Sylb. nec Pott. idoneis Codd. inſtructi fuerunt.

ἡγιασμένοις] ἡγαπημένοις. E.

20. πρῶτον καὶ] + ἐν. E.

ἀπήγγελλον] ἀπαγγέλλω A. t ἀπαγγέλλων D. t κατήγγελλον. E. Ἀπαγγέλλω. Chryſ. 390. b.

21. ἐν] ὄντα ἐν. E.

διαχειρίσασθαι] διαχειρίζεσθαι. E.

22. παρὰ] ἀπό. E.

μαρτυρούμενος] μαρτυρόμενος. A.

λέγων, ὧν τε οἱ προφῆται ἐλάλησαν μελ-
λόντων γίνεσθαι, καὶ μωυσῆς· εἰ παθητὸς 23.
ὁ χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν
φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ
τοῖς ἔθνεσι. ταῦτα δὲ αὐτοῦ ἀπολογουμέ- 24.
νου, ὁ φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη· μαίνῃ
παῦλε· τὰ πολλά σε γράμματα εἰς
μανίαν περιτρέπει. ὁ δὲ· οὐ μαίνομαί, 25.
φησι, κράτιστε φῆστε, ἀλλ' ἀληθείας καὶ
σωφροσύνης ῥήματα ἀποφθέγγομαι. ἐπί- 26.
στασται γὰρ περὶ τούτων ὁ βασιλεὺς, πρὸς
ὃν καὶ παρρησιαζόμενος λαλῶ· λανθάνειν
γάρ αὐτόν τι τούτων οὐ πείθομαι οὐδέν·
οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.
πιστεύεις, βασιλεῦ ἀγρίππα, τοῖς προφήταις; 27.
οἶδα, ὅτι πιστεύεις. ὁ δὲ ἀγρίππας πρὸς 28.
τὸν παῦλον ἔφη· ἐν ὀλίγῳ με πείθεις χρι-
στιανὸν γενέσθαι. ὁ δὲ παῦλος εἶπεν· εὐ- 29.
ξαίμην ἂν τῷ θεῷ, καὶ ἐν ὀλίγῳ, καὶ ἐν
πολλῷ

23. τῷ λαῷ] τῷ τε λαῷ t ἐν τῷ τε λαῷ. E. Secundum et tertium Chryſ. IX, 390. c. 393. b. Poſt hunc verſum 390. c. Chryſoſtomus ita infert: ἀλλὰ οὐδὲ νῦν ἀφίσταμαι, et, ἀπὸ γὰρ προφητῶν ἰσχυρίζομαι, aeſi haec ſint verba contextus. Verum hoc in uſu habet, ut ſaepius ſua verba pro apoſtolorum verbis interpretetur atque adeo urgeat.

24. ἀπολογουμένου] διαλεγομένου. E. Chryſ. 390. d.

25. ὁ δὲ] + παῦλος. E. Chryſ. IX, 390. d. interrogat: τί οὖν ὁ παῦλος;

29. καὶ ἐν ὀλίγῳ] Sic, et ἐν ἐν ὀλίγῳ, editum apud Chryſ.

πολλῷ, οὐ μόνον σὲ, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον, γενέσθαι τοιούτους, οἵοιος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσ-
30. μῶν τούτων. καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἀνέστη ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν, ἥτε Βερ-
31. νίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς, καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους, λέγοντες· ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσ-
32. μῶν πράσσει ὁ ἄνθρωπος οὗτος. ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη· ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ * ἐπικέκλητο καίσαρα. [Τέλος.]

Τέλος ἔν-
ΑΗ. τισι. Περίσ-
κειται δὲ ἐν
ἐνί· καὶ οὕ-
τως ἔχειν
αὐτὸν ὁ ἡγε-
μὼν ἀπα-
πίμψαι
καίσαρι.

Chryſ. 391. Sed ουκ vitioſum videtur. explicat enim παρὰ μικρόν. Scilicet καὶ et ουκ in editione per ſiglas expreſſa ſunt. Eſt ergo confuſio typothetae.

πολλῷ] μεγάλῳ. E.

30. καὶ ταῦτα — ἀνέστη ὁ] ἀνέστη τε ὁ t ἀνέστη δὲ ὁ. E. Scilicet Chryſ. in homilia LII. ubi ſuperiora explicat, hunc verſum prorſus non addit, Sed in principio hom. LIII. ubi iſta aliena erant, exhibet: ἀνέστη δὲ ὁ. Exemplum prorſus ſimile notavi ad 24, 22. Vide etiam 28, 16. Qui vero Codices ex meis hic aberrant a vero? Moſq. h. qui ſcholia et in his Chryſoſtomi ſimul etiam, exhibet, et l. qui haud raro aberrat. Qui vero ex Wetſtenianis hic corrupti ſunt? A. 13, 14, 17. 36. 40. Item verſiones, Vulgata latina, Syr. Copt. Aethiop. Apud Birg. Vat. 1209. ſeu B. et fidelis ſatelles, vel etiam dux eius Vat. 367. Neminem ergo fallit Chryſ.

32. ἐπικέκλητο] ἐπικέκλητο. A.

καίσαρα] Hic unus ex meis addit: οὕτως ἔχειν αὐτὸν ὁ ἡγεμὼν ἀπαπίμψαι καίσαρι. Speciem habent

ΑΗ. πλοῦς παύλου ἐπὶ ῥώμην, κινδύνων τε πλείστων καὶ μιγίστων ἔμπλεως· ἐν ᾧ, παραίνεσις παύλου πρὸς τοὺς σὺν αὐτῷ περὶ ἐλπίδος σωτηρίας· ναυάγιον παύλου, ὅπως τε διεσώθησαν εἰς μελίτην τὴν νῆσον, καὶ ὅσα ἐν αὐτῇ ὁ παῦλος ἐθαυματούργησεν.

[Ἀρχή.] Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς XXVII,
εἰς τὴν ἰταλίαν, παρεδίδουν τόν τε παῦλον 1. NB.
καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ,
ὀνόματι ἰουλίῳ, * σπείρας σεβαςῆς. ἐπι- 2.
βάντες δὲ πλοίῳ ἀδραμυττηνῷ, μέλλοντες
πλεῖν τοὺς κατὰ τὴν ἀσίαν τόπους, ἀνήχ-
θημεν, ὄντος σὺν ἡμῖν ἀριςάρχου μακεδόνος
θεσ-

XXVII, 1. NB. τῇ παρασκευῇ τῆς ζ. ἑβδ. ἐ. τ. ἡ. ἐ. ὡς ἐκρίθη τοῦ ἀποπλεῖν [ἡμᾶς] τοὺς περὶ τὸν παῦλον εἰς τὴν ἰταλίαν.

bent clauſulae lectionis eccleſiaſticae, quae in hoc Codice notantur. Nullam tamen equidem lectionem eccleſiaſticam inveni, quae hic verſu 32. terminaretur.

XXVII. 1. ἡμᾶς] τοὺς περὶ τὸν παῦλον. E. ἡμᾶς ſervant etiam quatuor poſt examinati, tametſi duo notent lect. eccleſ.

παρεδίδουν] παρεδίδου. E. Solus 13. ex meis. Παρεδίδουν, nimirum, οἱ δεσμοφύλακες.

2. ἀδραμυττηνῷ] ἀδραμυττινῷ t ἀδραμυτηνῷ. Vide ad Polyaen. pag. 657.

μέλλοντες] μέλλοντι D. t. μέλλοντος. E. Loco μέλλοντα, in priore editione mea corrigendum μέλλοντι, quod vel ex Millii ſententia intelligitur. In uno hic inveni etiam μέλλοντ, et ο, ſupra τ, quod eſt μέλλοντος.

πλεῖν] + ἐις t. + ἐπί. E. Diſſenſus corruptionem prodit, ut plerumque in eiusmodi locis.

3. Θεσσαλονικέως. τῇ τε ἑτέρᾳ κατήχθη-
μεν εἰς σιδῶνα· φιλανθρώπως τε ὁ ἰούλιος
τῷ παύλῳ χρησάμενος, ἐπέτρεψε πρὸς
τοὺς φίλους πορευθέντα ἐπιμελείας τυχεῖν.
4. κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν
κύπρον, διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους.
5. τό, τε πέλαγος τὸ κατὰ τὴν κιλικίαν καὶ
παμφυλίαν διαπλεύσαντες, κατήλθομεν εἰς
6. μύρα τῆς λυκίας. κἀκεῖ εὑρὼν ὁ ἑκατόν-
ταρχος πλοῖον ἀλεξανδρῖνον πλέον εἰς τὴν
7. ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. ἐν
ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ
μόλις γενόμενοι κατὰ τὴν κνίδον, μὴ προσ-
εῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν
8. τὴν κρήτην κατὰ σαλμώνην· μόλις τε
παραλεγόμενοι αὐτὴν, ἤλθομεν εἰς τόπον
τινὰ καλούμενον καλοὺς λιμένας, ᾧ ἐγγὺς
ἦν

3. τῇ τε] τῇ δέ. E.

ἐπέτρεψε] ἐκέλευσε. E. Solus l. ex meis. Idem mox cum aliquibus, πορευθέντι. E.

5. κατήλθομεν] κατήχθημεν. E.

μύρα] μῦρα. A. σμύρναν t λύστρα. E. Hieronymus ex imitatione Origenis, aut ex Origene ipso hic turbas dedit, ut in aliis nominibus propriis v. Wetst. Sabat. et vers. 8. Semel decretum erat Origeni et Hieronymo, nullum nomen proprium intactum relinquere. Miror, cur non etiam nomina Apostolorum mutarint. Immo vero haec quoque tentarunt.

λυκίας] κυλικίας. E.

6. ἐνεβίβασεν] ἀνεβίβασεν. A.

τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. καὶ 22.
τανῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ
γὰρ ψυχῆς οὐδεμία ἔσαι ἐξ ὑμῶν, πλὴν
τοῦ πλοίου. παρέστη γάρ μοι * ταύτῃ τῇ 23.
νυκτὶ ἄγγελος τοῦ θεοῦ, οὗ εἰμὶ, ᾧ καὶ λα-
τρεύω, λέγων· μὴ φοβοῦ, παῦλε· καίσαρί 24.
σε δεῖ παρασῆναι· καὶ ἰδοὺ, κεχάρισαί σοι
ὁ θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ.
διὸ εὐθυμεῖτε ἄνδρες· πιστεύω γὰρ τῷ θεῷ, 25.
ὅτι οὕτως ἔσαι, καθ' ὃν τρόπον λελάληταί
μοι. εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. 26.
ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, δια- 27.
φερομένων ὑμῶν ἐν τῷ ἀδρίᾳ, κατὰ μέσον
τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν
τινὰ αὐτοῖς χώραν, καὶ βολίσαντες, εὗρον 28.
ὀργυιὰς εἴκοσι· βραχὺ δὲ διασήσαντες, καὶ
πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέν-
τε· φοβούμενοί τε, μήπως εἰς τραχεῖς 29.
τόπους * ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες
ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέ-
σθαι. τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν 30.
ἐκ

22. οὐδεμία] οὐδεμιᾶς. E.

23. τῇ νυκτὶ ταύτῃ] ταύτῃ τῇ νυκτί.

27. προσάγειν] Vat. 1209. προσανέχειν. Per ſe non abſurde. ἀνέχειν quid notet, conſtat. Scilicet h. l. idem eſt, quod ἀνακύπτειν, ἐξέχειν. πρὸς vicinitatem indicat.

29. μήπως εἰς] μήπου κατά. E.
ἐκπέσωσιν] ἐκπέσωμεν.

ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν,
31. εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις· ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ
32. πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς
33. σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν. Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων· τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες, ἄσιτοι διατελεῖτε, μηδὲν
34. προσλαβόμενοι· διὸ παρακαλῶ ὑμᾶς, προσλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς πεσεῖται.
35. εἰπὼν δὲ ταῦτα, καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ θεῷ ἐνώπιον πάντων, καὶ κλά-
36. σας ἤρξατο ἐσθίειν. εὔθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο τροφῆς.
37. ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ,
38. διακόσιαι ἑβδομήκοντα ἕξ. κορεσθέντες δὲ τροφῆς,

31. ἐὰν μὴ κ. τ. λ.] Ita Chryſ. IX, 399. c. ſed ibid. d. ἐὰν οὗτοι φύγωσιν.

34. προσλαβεῖν] μεταλαβεῖν. E. Ex verſ. 33. Utrumque Chryſ. IX, 399. e. 401. e.

πεσεῖται] ἀπολεῖται. E. Scribae in mente habebant Luc. 21, 18.

38. δὲ] + τῆς. E. Chryſ. l. l. 400. 492.

τροφῆς, ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν. ὅτε δὲ ἡμέ- 39.
ρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον· κόλ-
πον δέ τινα κατενόουν, ἔχοντα αἰγιαλὸν,
εἰς ὃν ἐβουλεύσαντο, εἰ * δυνατὸν, ἐξῶσαι
τὸ πλοῖον. καὶ τὰς ἀγκύρας περιελόντες 40.
εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς
ζευκτηρίας τῶν πηδαλίων· καὶ ἐπάραντες
τὸν * ἀρτέμωνα, τῇ πνεούσῃ κατεῖχον εἰς
τὸν αἰγιαλόν. περιπεσόντες δὲ εἰς τόπον 41.
διθάλασσον, ἐπώκειλαν τὴν ναῦν· καὶ ἡ
μὲν πρῷρα ἐρείσασα ἔμεινεν ἀσάλευτος, ἡ
δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμά-
των. τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, 42.
ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μήτις ἐκ-
κολυμβήσας * διαφύγῃ. ὁ δὲ ἑκατόνταρ- 43.
χος, βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώ-
λυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέ τε
τοὺς

39. δύναιντο] δυνατόν. E. Chrys. 400.

40. ἀρτέμωνα] ἀρτίμωνα. Ita postea etiam reperi. Phavorinus in μασχάλη — ὅπου καὶ τὸ τέρθρον ὃ καλοῦσιν ἀρτέμωνα.

κατεῖχον] κατῆγον. E.

41. περιπεσόντες] περιπεσόντων t περισόντες. E.

ἐπώκειλαν] Codices Wetst. et Birch. praestantiores, ἐπέκειλαν, ἐπέκηλαν. Sed haec monstra sunt. Vulgatum aliquis meorum in marg. explicat, ἐπανεπαύσαντο, ὥρμισαν, ἀνεκάθισαν. v. Alciphr. p. 40.

ἔμεινεν] ἴμενεν. E. Recte quidem.

42. διαφύγοι] διαφύγῃ.

τοὺς δυναμένους κολυμβᾶν, ἀποῤῥίψαντας
44. πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι· καὶ τοὺς
λοιποὺς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί
τινων τῶν ἀπὸ τοῦ πλοίου· καὶ οὕτως ἐγέ-
νετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.
XXVIII, Καὶ [Ἀρχή.] διασωθέντες, τότε ἐπέγνωσαν,
ΝΓ. 1. ὅτι μελίτη ἡ νῆσος καλεῖται. [Τέλος.] Τέλος τῆς σ.
2. οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν
φιλανθρωπίαν ἡμῖν. ἀνάψαντες γὰρ πυρὰν,
προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν
3. τὸν ἐφεστῶτα, καὶ διὰ τὸ ψύχος. συσσέ-
ψαντος δὲ τοῦ παύλου φρυγάνων πλῆθος,
καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα ἐκ
τῆς θέρμης * διεξελθοῦσα καθῆψε τῆς χει-
4. ρὸς αὐτοῦ. ὡς δὲ εἶδον οἱ βάρβαροι κρε-
μάμε-

XXVIII, 1. ΝΓ. σαββάτῳ τῆς ζ. ἰβδ. ἤτοι περὶ τῆς πεντηκοστῆς· ἰ. τ. ἡ. ἐ. διασωθέντες οἱ περὶ τὸν παῦλον ἐκ τοῦ πλοὸς, τότε ἐπέγνωσαν.

43. ἀποῤῥίψαντας] intellige ἑαυτοὺς εἰς τὴν θάλασσαν.

XXVIII. 1. καὶ διασωθ. κ. τ. λ.] διασωθ. δὲ ἔγνωσαν, ὅτι μελίτη. E. Damasc. II, 707.

2. ἡμῖν] — E. Damasc. l. l. Praetermittit autem verſ. 3—6.

ἀνάψαντες] ἅψαντες. E.

3. φρυγάνων] + τι. E.

ἐκ τῆς] ἀπὸ τῆς. E.

ἐξελθοῦσα] διεξελθοῦσα. Ita et Chryſ. IX, 404. d, ſed 405. a. ἐξελθοῦσα.

καθῆψε] καθήψατο. E. Sic Chryſ. 404. d. ac deinde ſuis verbis, ἅπτεται, ἔψατο. Ergo *medium*, quod uſitatius eſt.

λέγων, ὧν τε οἱ προφῆται ἐλάλησαν μελ-
λόντων γίνεσθαι, καὶ μωυσῆς· εἰ παθητὸς 23.
ὁ χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν
φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ
τοῖς ἔθνεσι. ταῦτα δὲ αὐτοῦ ἀπολογουμέ- 24.
νου, ὁ φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη· μαίνῃ
παῦλε· τὰ πολλά σε γράμματα εἰς
μανίαν περιτρέπει. ὁ δέ· οὐ μαίνομαί, 25.
φησι, κράτιστε φῆστε, ἀλλ' ἀληθείας καὶ
σωφροσύνης ῥήματα ἀποφθέγγομαι. ἐπί- 26.
σταται γὰρ περὶ τούτων ὁ βασιλεὺς, πρὸς
ὃν καὶ παρρησιαζόμενος λαλῶ· λανθάνειν
γάρ αὐτόν τι τούτων οὐ πείθομαι οὐδέν·
οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο.
πιστεύεις, βασιλεῦ ἀγρίππα, τοῖς προφήταις; 27.
οἶδα, ὅτι πιστεύεις. ὁ δὲ ἀγρίππας πρὸς 28.
τὸν παῦλον ἔφη· ἐν ὀλίγῳ με πείθεις χρι-
στιανὸν γενέσθαι. ὁ δὲ παῦλος εἶπεν· εὐ- 29.
ξαίμην ἂν τῷ θεῷ, καὶ ἐν ὀλίγῳ, καὶ ἐν
πολλῷ

23. τῷ λαῷ] τῷ τε λαῷ t ἐν τῷ τε λαῷ. E, Secundum et tertium Chryſ. IX, 390. c. 393. b. Poſt hunc verſum 390. c. Chryſoſtomus ita infert: ἀλλὰ οὐδὲ νῦν ἐφίσαμαι, et, ἀπὸ γὰρ προφητῶν ἰσχυρίζομαι, acſi haec ſint verba contextus. Verum hoc in uſu habet, ut ſaepius ſua verba pro apoſtolorum verbis interpretetur atque adeo urgeat.

24. ἀπολογουμένου] διαλεγομένου. E, Chryſ. 390. d.

25. ὁ δὲ] + παῦλος. E, Chryſ. IX, 390. d. interrogat: τί οὖν ὁ παῦλος;

29. καὶ ἐν ὀλίγῳ] Sic, et οὐκ ἐν ὀλίγῳ, editum apud Chryſ.

πολλῷ, οὐ μόνον σὲ, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον, γενέσθαι τοιούτους, ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσ-
30. μῶν τούτων. καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἀνέστη ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν, ἥτε Βερ-
31. νίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς, καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους, λέγοντες· ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσ-
32. μῶν πράσσει ὁ ἄνθρωπος οὗτος. ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη· ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ * ἐπικέκλητο καίσαρα. [Τέλος.]

Τέλος ἔν-
ΑΗ. τισι. Περίσ-
κειται δὲ ἐν ἐνί· καὶ οὕ-
τως ἔχειν αὐτὸν ὁ ἡγε-
μὼν ἀπα-
πέμψαι καίσαρι.

Chryſ. 391. Sed οὐκ vitioſum videtur. explicat enim παρὰ μικρόν. Scilicet καὶ et οὐκ in editione per ſiglas expreſſa ſunt. Elt ergo confuſio typothetae.

πολλῷ] μεγάλῳ. E.

30. καὶ ταῦτα — ἀνέστη ὁ] ἀνέστη τε ὁ τ ἀνέστη δὲ ὁ. E. Scilicet Chryſ. in homilia LII. ubi ſuperiora explicat, hunc verſum prorſus non addit, Sed in principio hom. LIII. ubi iſta aliena erant, exhibet: ἀνέστη δὲ ὁ. Exemplum prorſus ſimile notavi ad 24, 22. Vide etiam 28, 16. Qui vero Codices ex meis hic aberrant a vero? Moſq. h. qui ſcholia et in his Chryſoſtomi ſimul etiam, exhibet, et l. qui haud raro aberrat. Qui vero ex Wetſteniani hic corrupti ſunt? A. 13, 14. 17. 36. 40. Item verſiones, Vulgata latina, Syr. Copt. Aethiop. Apud Birg. Vat. 1209. ſeu B. et fidelis ſatelles, vel etiam dux eius Vat. 367. Neminem ergo fallit Chryſ.

32. ἐπικέκλητο] ἐπικέκλητο. A.

καίσαρα] Hic unus ex meis addit: οὕτως ἔχειν αὐτὸν ὁ ἡγεμὼν ἀπαπέμψαι καίσαρι. Speciem habent

ΑΗ. πλοῦς παύλου ἐπὶ ῥώμην, κινδύνων τε πλείστων καὶ μεγίστων ἔμπλεως· ἐν ᾧ, παραίνεσις παύλου πρὸς τοὺς σὺν αὐτῷ περὶ ἐλπίδος σωτηρίας· ναυάγιον παύλου, ὅπως τε διεσώθησαν εἰς μελίτην τὴν νῆσον, καὶ ὅσα ἐν αὐτῇ ὁ παῦλος ἐθαυματούργησεν.

[Ἀρχή.] Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς XXVII, εἰς τὴν ἰταλίαν, παρεδίδουν τόν τε παῦλον 1. NB. καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ, ὀνόματι ἰουλίῳ, * σπείρας σεβαστῆς. ἐπι- 2. βάντες δὲ πλοίῳ ἀδραμυττηνῷ, μέλλοντες πλεῖν τοὺς κατὰ τὴν ἀσίαν τόπους, ἀνήχ- θημεν, ὄντος σὺν ἡμῖν ἀριστάρχου μακεδόνος θεσ-

XXVII, 1. NB. τῇ παρασκευῇ τῆς ζ. ἑβδ. ἐ. τ. ἡ. ἐ. ὡς ἐκρίθη τοῦ ἀποπλεῖν [ἡμᾶς] τοὺς περὶ τὸν παῦλον εἰς τὴν ἰταλίαν.

bent clauſulae lectionis eccleſiaſticae, quae in hoc Codice notantur. Nullam tamen equidem lectionem eccleſiaſticam inveni, quae hic verſu 32. terminaretur.

XXVII. 1. ἡμᾶς] τοὺς περὶ τὸν παῦλον. E. ἡμᾶς ſervant etiam quatuor poſt examinati, tametſi duo notent lect. eccleſ.

παρεδίδουν] παρεδίδου. E. Solus 13. ex meis. Παρεδίδουν, nimirum, οἱ δεσμοφύλακες.

2. ἀδραμυττηνῷ] ἀδραμυττινῷ t ἀδραμυτηνῷ. Vide ad Polyaen. pag. 657.

μέλλοντες] μέλλοντι D. t. μέλλοντος. E. Loco μέλλοντα, in priore editione mea corrigendum μέλλοντι, quod vel ex Millii ſententia intelligitur. In uno hic inveni etiam μέλλοντ, et ο, ſupra τ, quod eſt μέλλοντος.

πλεῖν] + ἐις t. + ἐπί. E. Diſſenſus corruptionem prodit, ut plerumque in eiusmodi locis.

3. θεσσαλονικέως. τῇ τε ἑτέρᾳ κατήχθημεν εἰς σιδῶνα· φιλανθρώπως τε ὁ ἰούλιος τῷ παύλῳ χρησάμενος, ἐπέτρεψε πρὸς τοὺς φίλους πορευθέντα ἐπιμελείας τυχεῖν.
4. κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν κύπρον, διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους.
5. τό, τε πέλαγος τὸ κατὰ τὴν κιλικίαν καὶ παμφυλίαν διαπλεύσαντες, κατήλθομεν εἰς
6. μύρα τῆς λυκίας. κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον ἀλεξανδρῖνον πλέον εἰς τὴν
7. ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ τὴν κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν
8. τὴν κρήτην κατὰ σαλμώνην· μόλις τε παραλεγόμενοι αὐτὴν, ἤλθομεν εἰς τόπον τινὰ καλούμενον καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν

3. τῇ τε] τῇ δέ. E.

ἐπέτρεψε] ἐκέλευσε. E. Solus l. ex meis. Idem mox cum aliquibus, πορευθέντι. E.

5. κατήλθομεν] κατήχθημεν. E.

μύρα] μῦρα. A. σμύρναν t λύστρα. E. Hieronymus ex imitatione Origenis, aut ex Origene ipso hic turbas dedit, ut in aliis nominibus propriis v. Wetst. Sabat. et vers. 8. Semel decretum erat Origeni et Hieronymo, nullum nomen proprium intactum relinquere. Miror, cur non etiam nomina Apostolorum mutarint. Immo vero haec quoque tentarunt.

λυκίας] κυλικίας. E.

6. ἐνεβίβασεν] ἀνεβίβασεν. A.

τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. καὶ 22.
τανῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ
γὰρ ψυχῆς οὐδεμία ἔσαι ἐξ ὑμῶν, πλὴν
τοῦ πλοίου. παρέστη γάρ μοι * ταύτῃ τῇ 23.
νυκτὶ ἄγγελος τοῦ θεοῦ, οὗ εἰμὶ, ᾧ καὶ λα-
τρεύω, λέγων· μὴ φοβοῦ, παῦλε· καίσαρί 24.
σε δεῖ παρασῆναι· καὶ ἰδοὺ, κεχάρισαί σοι
ὁ θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ.
διὸ εὐθυμεῖτε ἄνδρες· πιστεύω γὰρ τῷ θεῷ, 25.
ὅτι οὕτως ἔσαι, καθ' ὃν τρόπον λελάληταί
μοι. εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. 26.
ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, δια- 27.
φερομένων ὑμῶν ἐν τῷ ἀδρίᾳ, κατὰ μέσον
τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν
τινὰ αὐτοῖς χώραν, καὶ βολίσαντες, εὗρον 28.
ὀργυιὰς εἴκοσι· βραχὺ δὲ διαστήσαντες, καὶ
πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέν-
τε· φοβούμενοί τε, μήπως εἰς τραχεῖς 29.
τόπους * ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες
ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέ-
σθαι. τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν 30.
ἐκ

22. οὐδεμία] οὐδεμιᾶς. E.

23. τῇ νυκτὶ ταύτῃ] ταύτῃ τῇ νυκτί.

27. προσάγειν] Vat. 1209. προσανέχειν. Per se non absurde. ἀνέχειν quid notet, constat. Scilicet h. l. idem est, quod ἀνακύπτειν, ἐξέχειν. πρὸς vicinitatem indicat.

29. μήπως εἰς] μήπου κατά. E.
ἐκπέσωσιν] ἐκπέσωμεν.

ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν,
31. εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις· ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ
32. πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς
33. σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν. Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων· τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες, ἄσιτοι διατελεῖτε, μηδὲν
34. προσλαβόμενοι· διὸ παρακαλῶ ὑμᾶς, προσλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς πεσεῖται.
35. εἰπὼν δὲ ταῦτα, καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ θεῷ ἐνώπιον πάντων, καὶ κλά-
36. σας ἤρξατο ἐσθίειν. εὔθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο τροφῆς.
37. ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ,
38. διακόσιαι ἑβδομήκοντα ἕξ. κορεσθέντες δὲ τροφῆς,

31. ἐὰν μὴ κ. τ. λ.] Ita Chryſ. IX, 399. c. ſed ibid. d. ἐὰν οὗτοι φύγωσιν.

34. προσλαβεῖν] μεταλαβεῖν. E. Ex verſ. 33. Utrumque Chryſ. IX, 399. e. 401. e.

πεσεῖται] ἀπολεῖται. E. Scribae in mente habebant Luc. 21, 18.

38. δὲ] + τῆς. E. Chryſ. l. l. 400. 401.

τροφῆς, ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι
τὸν σῖτον εἰς τὴν θάλασσαν. ὅτε δὲ ἡμέ- 39.
ρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον· κόλ-
πον δέ τινα κατενόουν, ἔχοντα αἰγιαλὸν,
εἰς ὃν ἐβουλεύσαντο, εἰ * δυνατὸν, ἐξῶσαι
τὸ πλοῖον. καὶ τὰς ἀγκύρας περιελόντες 40.
εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς
ζευκτηρίας τῶν πηδαλίων· καὶ ἐπάραντες
τὸν * ἀρτέμωνα, τῇ πνεούσῃ κατεῖχον εἰς
τὸν αἰγιαλόν. περιπεσόντες δὲ εἰς τόπον 41.
διθάλασσον, ἐπώκειλαν τὴν ναῦν· καὶ ἡ
μὲν πρῴρα ἐρείσασα ἔμεινεν ἀσάλευτος, ἡ
δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμά-
των. τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, 42.
ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μήτις ἐκ-
κολυμβήσας * διαφύγῃ. ὁ δὲ ἑκατόνταρ- 43.
χος, βουλόμενος διασῶσαι τὸν παῦλον, ἐκώ-
λυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέ τε
τοὺς

39. δύναιντο] δυνατόν. E. Chrys. 400.

40. ἀρτέμονα] ἀρτέμωνα. Ita postea etiam reperi. Phavorinus in μασχάλη — ὅπου καὶ τὸ τέρθρον ὃ καλοῦσιν ἀρτέμωνα.

κατεῖχον] κατῆγον. E.

41. περιπεσόντες] περιπεσόντων ε πεσόντες. E.

ἐπώκειλαν] Codices Wetst. et Birch. praestantiores, ἐπέκειλαν, ἐπέκηλαν. Sed haec monstra sunt. Vulgatum aliquis meorum in marg. explicat, ἐπανεπαύσαντο, ὥρμισαν, ἀνεκάθισαν. v. Alciphr. p. 40.

ἔμεινεν] ἔμενεν. E. Recte quidem.

42. διαφύγοι] διαφύγῃ.

τοὺς δυναμένους κολυμβᾶν, ἀποῤῥίψαντας
44. πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι· καὶ τοὺς
λοιποὺς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί
τινων τῶν ἀπὸ τοῦ πλοίου· καὶ οὕτως ἐγέ-
νετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.
XXVIII, Καὶ [Ἀρχή.] διασωθέντες, τότε ἐπέγνωσαν,
ΝΓ. 1. ὅτι μελίτη ἡ νῆσος καλεῖται. [Τέλος.] Τέλος τῆς σ.
2. οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν
φιλανθρωπίαν ἡμῖν. ἀνάψαντες γὰρ πυρὰν,
προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν
3. τὸν ἐφεστῶτα, καὶ διὰ τὸ ψύχος. συγρέ-
ψαντος δὲ τοῦ παύλου φρυγάνων πλῆθος,
καὶ ἐπιθέντος ἐπὶ πὴν πυρὰν, ἔχιδνα ἐκ
τῆς θέρμης * διεξελθοῦσα καθῆψε τῆς χει-
4. ρὸς αὐτοῦ. ὡς δὲ εἶδον οἱ βάρβαροι κρε-
μάμε-

XXVIII, 1. ΝΓ. *σαββάτῳ τῆς ζ. ἰβδ. ἤτοι περὶ τῆς πεντηκοστῆς· ἰ. τ. ἡ. ἐ. διασωθέντες οἱ περὶ τὸν παῦλον ἐκ τοῦ πλοὸς, τότε ἐπέγνωσαν.*

43. *ἀποῤῥίψαντας*] intellige *ἑαυτοὺς εἰς τὴν θάλασσαν.*

XXVIII. 1. *καὶ διασωθ. κ. τ. λ.*] *διασωθ. δὲ ἔγνωσαν, ὅτι μελίτη.* E. Damasc. II, 707.

2. *ἡμῖν*] — E. Damasc. l. l. Praetermittit autem versu. 3—6.

ἀνάψαντες] *ἅψαντες.* E.

3. *φρυγάνων*] + *τι.* E.

ἐκ τῆς] *ἀπὸ τῆς.* E.

διεξελθοῦσα] *διεξελθοῦσα.* Ita et Chrys. IX, 404. d, sed 405. a. *ἐξελθοῦσα.*

καθῆψε] *καθήψατο.* E. Sic Chrys. 404. d. ac deinde suis verbis, *ἅπτεται, ἅψατο.* Ergo *medium*, quod usitatius est.

μάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους· πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ ἔασεν. 5. ὁ μὲν οὖν, ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν· 6. οἱ δὲ προσεδόκων, αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν. ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον, θεὸν αὐτὸν εἶναι. 7. ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι ποπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς, τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν. ἐγένετο δὲ τὸν πατέρα τοῦ ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον κατακεῖσθαι· 8.

4. ἐκ τῆς] κατὰ τῆς. E. Orig. II, 27. et, ἰδόντες δὲ βάρβαροι. Ingenioſe autem ex h. l. docet, *ſerpentes* in litteris ſacris non referri ad ἑρπετὰ, ſed ad θηρία.

5. ἀποτινάξας] ἀποτιναξάμενος. E. Quod ipſum uſitatius eſt. Philo p. 259. b. ἀποτινάττει καὶ ἀποβάλλει τὰ φύλλα, ubi ſynonymum eſt, ἀποῤῥίπτει. Alibi etiam in N. Teſt. eſt ἀποτινάξαι et ἐκτινάξαι.

ἔπαθεν] ἔπασχεν. E.

6. πίμπρασθαι] ἐμπίμπρασθαι. E.

μεταβαλλόμενοι] μεταβαλόμενοι. E.

7. ποπλίῳ] πουπλίῳ. E. Damaſc. l. l.

τρεῖς ἡμέρας] — E. Forte propter verſ. 11.

8. δυσεντερίᾳ] δυσεντερίῳ t δυσεντερίαις. E. Vulgatum Chryſ. 405. Damaſc. II, 555. qui tamen rurſus πουπλίου habet, et αὐτῷ omittit etc.

κεῖσθαι· πρὸς ὃν ὁ παῦλος εἰσελθὼν, καὶ προσευξάμενος, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ,
9. ἰάσατο αὐτόν. τούτου οὖν γενομένου, καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ,
10. προσήρχοντο καὶ ἐθεραπεύοντο· οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν.

ΛΘ. ὅπως ἀπὸ μιλίτης εἰς ῥόμην κατήντησεν ὁ παῦλος.

11. μετὰ δὲ τρεῖς μῆνας * ἠχθημεν ἐν πλοίῳ, παρακεχειμακότι ἐν τῇ νήσῳ, ἀλεξανδρίνῳ,
12. παρασήμῳ διοσκούροις. καὶ καταχθέντες εἰς συρακούσας, ἐπεμείναμεν ἡμέρας τρεῖς.
13. ὅθεν περιελθόντες κατηντήσαμεν εἰς ῥήγιον, καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου,
14. δευτεραῖοι ἤλθομεν εἰς ποτιόλους. οὗ εὑρόντες ἀδελφοὺς, παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά· καὶ οὕτως εἰς
15. τὴν ῥώμην ἤλθομεν. κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν ἄχρις ἀππίου φόρου καὶ τριῶν ταβερνῶν· οὓς ἰδὼν ὁ παῦλος, εὐχαριστήσας

10. τὴν χρείαν] τὰς χρείας. E.

11. μῆνας] ἡμέρας. E. Vulgatum diſerte Chryſ. 405. d. bis. Iſtud ex verſ. 7.

ἀνήχθημεν] ἤχθημεν. A. Poſtea etiam in tribus reperi. Iſtud fortaſſe Chryſ. invexit l. l.

14. ἐπ'] παρ'. E.

ρισήσας τῷ θεῷ, ἔλαβε θάρσος. ὅτε δὲ 16.
ἤλθομεν εἰς ῥώμην, ὁ ἑκατόνταρχος παρέ-
δωκε τοὺς δεσμίους τῷ στρατοπεδάρχῃ· τῷ
δὲ παύλῳ ἐπετράπη μένειν καθ' ἑαυτὸν,
σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ.

Μ. περὶ διαλέξεως παύλου τῆς πρὸς τοὺς ἐν ῥώμῃ
ἰουδαίους.

ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς συγκαλέσα- 17.
σθαι τὸν παῦλον τοὺς ὄντας τῶν ἰουδαίων
πρώτους· συνελθόντων δὲ αὐτῶν, ἔλεγε πρὸς
αὐτούς· ἄνδρες ἀδελφοὶ, ἐγὼ οὐδὲν ἐναντίον
ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσι τοῖς πα-
τρῴοις, δέσμιος ἐξ ἱεροσολύμων παρεδόθην
εἰς τὰς χεῖρας τῶν ῥωμαίων· οἵτινες ἀνα- 18.
κρίναντές με ἐβούλοντο ἀπολῦσαι, διὰ τὸ
μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν
ἐμοί. ἀντιλεγόντων δὲ τῶν ἰουδαίων, ἠναγ- 19.
κάσθην

15. θεῷ] χριστῷ. E.

16. ἤλθομεν] εἰσήλθομεν. E. Mox, ῥώμην, ἐπιτράπη τῷ παύλῳ μένειν, omissis mediis. Chrys. 406. b. Ergo, ut alibi, in compendium redegit. Vestigia lectionis Codicum omnium servat ipse Chrys. 407. c. τῷ δὲ παύλῳ ἐπιτράπη μένειν καθ' ἑαυτόν. Omittunt etiam haec Wetst. A. 40. Etiam B. qui solus cum Chrys. habet etiam ἐπετ. τῷ παύλῳ. Ex meis Codd. nullus omnino praetermittit.

17. τὸν παῦλον] αὐτόν. E. Ita scilicet semel Chrys. 406. b. sed 411. a. vulgatum. Attingit etiam XI, 231.

19. ἰουδαίων] + καὶ βοώντων· ἆραι τὸν ἐχθρὸν ἡμῶν. E.

καίσαρα ἐπικαλέσασθαι· οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι.
20. διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι. ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύτην
21. περίκειμαι. οἱ δὲ πρὸς αὐτὸν εἶπον· ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας· οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέ τι περὶ
22. σοῦ πονηρόν· ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς. περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστόν ἐστιν ἡμῖν, ὅτι πανταχοῦ
23. ἀντιλέγεται. τάξάμενοι δὲ αὐτῷ ἡμέραν, ἦκον

κατηγορῆσαι] + ἀλλ' ἵνα σώσω τὴν ψυχήν μου ἐκ θανάτου. E. Aus tauſenden zwey Lorken zur Probe vom Syrer in einem Verſe, die nicht einmal Wetſt. D. noch Beda, noch Lucifer, kritiſchen Andenkens, empfehlen. Ad porcos iſtiusmodi nugas, quae ad turbandos et infamandos libros ſacros excogitatae ſunt. v. Griesb. Eorum, qui id nondum ex edit. Wetſt. didicerunt, profecto miſeret. Propoſitum erat, hic ante oculos ponere veſanas corruptiones Syr. Cod. D. et Codd. quorundam, Patrumque Latinorum, quibus hic liber contaminatus eſt. Sed earum multitudo me deterruit. Ex Beda colligere licet, eas proveniſſe ex iſtis ſic dictis *Poſt Illa*. Referantur ergo ad recenſionem *Poſtillalem*. Nam iſtas corruptiones a nemine critico adhuc probatas eſſe, coeci etiam, manibus palpando, deprehendunt.

22. περὶ μὲν] μὲν — E. Ath. II, 362. ſed ibi rectius omittebatur.

ἦν πόλις Λασαία. ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοὸς, διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι, παρῄνει ὁ Παῦλος, λέγων αὐτοῖς· ἄνδρες, θεωρῶ, ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας οὐ μόνον τοῦ * φορτίου καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν. ὁ δὲ ἑκατοντάρχης τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις. ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους ἔθεντο βουλὴν ἀναχθῆναι καὶ κἀκεῖθεν, εἴπως δύναιντο καταντήσαντες εἰς Φοίνικα παραχειμάσαι, λιμένα τῆς Κρήτης βλέποντα κατὰ λίβα καὶ κατὰ χῶρον. ὑποπνεύσαντος δὲ νότου, δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσσον παρελέγοντο τὴν Κρήτην· μετ' οὐ πολὺ δὲ ἔβαλε κατ' αὐτῆς ἄνεμος τυφωνικὸς, ὁ καλούμενος εὐροκλύδων, συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ

9. 10. 11. 12. 13. 14. 15.

8. λασαία] λασαΐα t λατσαία t λασία. Alii aliter.

10. ὅτι] Miror, non ſublatum eſſe.

φόρτου] φορτίου. Sic et poſtea inveni. Elegantius quidem, ſed Codd. hoc requirunt.

11. ἑκατόνταρχος] ἑκατοντάρχης, magno Codd. conſenſu h. l. Utrumque occurrit.

12. κἀκεῖθεν] ἐκεῖθεν. D.

13. ἆσσον] alii ἄσσον.

14. αὐτῆς] Chryſ. IX, 398. d. αὐτήν.

εὐροκλύδων] Ita omnes omnino mei. Linguae graecae

καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ,
16. ἐπιδόντες ἐφερόμεθα. νησίον δέ τι ὑπο-
δραμόντες, καλούμενον κλαύδην, μόλις ἰσχύ-
σαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης,
17. ἣν ἄραντες, βοηθείαις ἐχρῶντο, ὑποζωννῦν-
τες τὸ πλοῖον· φοβούμενοί τε, μὴ εἰς τὴν
σύρτιν ἐκπέσωσι, χαλάσαντες τὸ σκεῦος,
18. οὕτως ἐφέροντο. σφοδρῶς δὲ χειμαζομένων
19. ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο, καὶ
τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου
20. ἐρρίψαμεν. μήτε δὲ ἡλίου, μήτε ἄστρων
ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶ-
νός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν πε-
ριῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς.
21. πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε στα-
θεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν, εἶπεν· ἔδει
μέν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι, μὴ
ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε
τὴν

cae ratio poſtulabat, εὐρυκλύδων. Sed id in his ſcriptoribus non urgendum. Vulgata latina ex hoc finxit, *euroaquilo*, quod Cod. Alex. ſeu A, et Vat. 1209. ſeu B. reddidit εὐραικύλων, tanquam ἀκύλων ſit *aquilo*. v. P.

16. κλαύδην] κλαῦδα t καῦδα. Alii aliter.

17. τὸ σκεῦος] τὸ ἱστίον t τὰ ἱστία. Poſterius Chryſ. IX, 398. d. Sed haec eſt explicatio, ut ex ſcholiis ad h. l. intelligitur, v. P. 344.

19. ἐρρίψαμεν] ἔρριψαν. E.

20. ἐπιφαινόντων] ἐπιφαντέντων t ἐπιφαινομένων. E. Poſterius Chryſ. l. l.

πᾶσα] + ἡ. E.

τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. καὶ 22.
τανῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ
γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν
τοῦ πλοίου. παρέστη γάρ μοι * ταύτῃ τῇ 23.
νυκτὶ ἄγγελος τοῦ θεοῦ, οὗ εἰμὶ, ᾧ καὶ λα-
τρεύω, λέγων· μὴ φοβοῦ, παῦλε· καίσαρί 24.
σε δεῖ παρασῆναι· καὶ ἰδοὺ, κεχάρισταί σοι
ὁ θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ.
διὸ εὐθυμεῖτε ἄνδρες· πιστεύω γὰρ τῷ θεῷ, 25.
ὅτι οὕτως ἔσται, καθ' ὃν τρόπον λελάληταί
μοι. εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. 26.
ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, δια- 27.
φερομένων ὑμῶν ἐν τῷ ἀδρίᾳ, κατὰ μέσον
τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν
τινὰ αὐτοῖς χώραν, καὶ βολίσαντες, εὗρον 28.
ὀργυιὰς εἴκοσι· βραχὺ δὲ διαστήσαντες, καὶ
πάλιν βολίσαντες, εὗρον ὀργυιὰς δεκαπέν-
τε· φοβούμενοί τε, μήπως εἰς τραχεῖς 29.
τόπους * ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες
ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέ-
σθαι. τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν 30.
ἐκ

22. οὐδεμία] οὐδεμιᾶς. E.

23. τῇ νυκτὶ ταύτῃ] ταύτῃ τῇ νυκτί.

27. προσάγειν] Vat. 1209. προσανέχειν. Per se non absurde. ἀνέχειν quid notet, constat. Scilicet h. l. idem est, quod ἀνακύπτειν, ἐξέχειν. πρὸς *vicinitatem* indicat.

29. μήπως εἰς] μήπου κατά. E.
ἐκπέσωσιν] ἐκπέσωμεν.

ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν,
31. εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις· ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ
32. πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς
33. σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν. Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων· τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες, ἄσιτοι διατελεῖτε, μηδὲν
34. προσλαβόμενοι· διὸ παρακαλῶ ὑμᾶς, προσλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς πεσεῖται.
35. εἰπὼν δὲ ταῦτα, καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ θεῷ ἐνώπιον πάντων, καὶ κλά-
36. σας ἤρξατο ἐσθίειν. ἔυθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο τροφῆς.
37. ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ,
38. διακόσιαι ἑβδομηκονταέξ. κορεσθέντες δὲ τροφῆς,

31. ἐὰν μὴ κ. τ. λ.] Ita Chryſ. IX, 399. c. ſed ibid. d. ἐὰν οὗτοι φύγωσιν.

34. προσλαβεῖν] μεταλαβεῖν. E. Ex verſ. 33. Utrumque Chryſ. IX, 399. e. 401. e.

πεσεῖται] ἀπολεῖται. E. Scribae in mente habebant Luc. 21, 18.

38. δὲ] + τῆς. E. Chryſ. l. l. 400. 401.

τροφῆς, ἐκούφιζον τὸ πλοῖον, ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν. ὅτε δὲ ἡμέ- 39.
ρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον· κόλ-
πον δέ τινα κατενόουν, ἔχοντα αἰγιαλὸν,
εἰς ὃν ἐβουλεύσαντο, εἰ * δυνατὸν, ἐξῶσαι
τὸ πλοῖον. καὶ τὰς ἀγκύρας περιελόντες 40.
εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς
ζευκτηρίας τῶν πηδαλίων· καὶ ἐπάραντες
τὸν * ἀρτέμωνα, τῇ πνεούσῃ κατεῖχον εἰς
τὸν αἰγιαλόν. περιπεσόντες δὲ εἰς τόπον 41.
διθάλασσον, ἐπώκειλαν τὴν ναῦν· καὶ ἡ
μὲν πρῷρα ἐρείσασα ἔμεινεν ἀσάλευτος, ἡ
δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμά-
των. τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, 42.
ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μήτις ἐκ-
κολυμβήσας * διαφύγῃ. ὁ δὲ ἑκατόνταρ- 43.
χος, βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώ-
λυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέ τε
τοὺς

39. δύναιντο] δυνατόν. E. Chrys. 400.

40. ἀρτέμωνα] ἀρτίμωνα. Ita postea etiam reperi. Phavorinus in μασχάλη — ὅπου καὶ τὸ τέρθρον ὃ καλοῦσιν ἀρτέμωνα.

κατεῖχον] κατῆγον. E.

41. περιπεσόντες] περιπεσόντων τ πεσόντες. E.

ἐπώκειλαν] Codices Wetst. et Birch. praestantiores, ἐπέκειλαν, ἐπέκηλαν. Sed haec monstra sunt. Vulgatum aliquis meorum in marg. explicat, ἐπανεπαύσαντο, ἔρεισαν, ἀπεκάθισαν. v. Alciphr. p. 40.

ἔμεινεν] ἔμενεν. E. Recte quidem.

42. διαφύγοι] διαφύγῃ.

τοὺς δυναμένους κολυμβᾶν, ἀποῤῥίψαντας
44. πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι· καὶ τοὺς
λοιποὺς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί
τινων τῶν ἀπὸ τοῦ πλοίου· καὶ οὕτως ἐγέ-
νετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.
XXVIII, Καὶ [Ἀρχή.] διασωθέντες, τότε ἐπέγνωσαν,
ΝΓ. 1. ὅτι μελίτη ἡ νῆσος καλεῖται. [Τέλος.] Τέλος τῆς ε.
2. οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν
φιλανθρωπίαν ἡμῖν. ἀνάψαντες γὰρ πυρὰν,
προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν
3. τὸν ἐφεστῶτα, καὶ διὰ τὸ ψύχος. συνρέ-
ψαντος δὲ τοῦ παύλου φρυγάνων πλῆθος,
καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα ἐκ
τῆς θέρμης * διεξελθοῦσα καθῆψε τῆς χει-
4. ρὸς αὐτοῦ. ὡς δὲ εἶδον οἱ βάρβαροι κρε-
μάμε-

XXVIII, 1. ΝΓ. σαββάτῳ τῆς ζ. ἰβδ. ἤτοι περὶ τῆς πεντηκοστῆς· ἰ. τ. ἡ. ἰ. διασωθέντες οἱ περὶ τὸν παῦλον ἐκ τοῦ πλοὸς, τότε ἐπέγνωσαν.

43. ἀποῤῥίψαντας] intellige ἑαυτοὺς εἰς τὴν θάλασσαν.

XXVIII. 1. καὶ διασωθ. κ. τ. λ.] διασωθ. δὲ ἔγνωσαν ὅτι μελίτη. E. Damasc. II, 707.

2. ἡμῶν] — E. Damasc. l. l. Praetermittit autem vers. 3—6.

ἀνάψαντες] ἄψαντες. E.

3. φρυγάνων] + τι. E.

ἐκ τῆς] ἀπὸ τῆς. E.

ἐξελθοῦσα] διεξελθοῦσα. Ita et Chrys. IX, 404. d, sed 405. a. ἐξελθοῦσα.

καθῆψε] καθήψατο. E. Sic Chrys. 404. d. ac deinde suis verbis, ἅπτεται, ἅψατο. Ergo *medium*, quod usitatius est.

μάμενον τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους· πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ ἔασεν. 5. ὁ μὲν οὖν, ἀποτινάξας τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν· 6. οἱ δὲ προσεδόκων, αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν. ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον, θεὸν αὐτὸν εἶναι. 7. ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι ποπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς, τρεῖς ἡμέρας φιλοφρόνως ἐξένισεν. 8. ἐγένετο δὲ τὸν πατέρα τοῦ ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον κατακεῖσθαι·

IV, 1. καὶ ὑμεῖς] + ὑπὲρ αὐτοῦ. E. Cyrill. I, a. 597. Ad σαρκὶ tantum laudat. V, d. 102. Priora huius versus nominatim Basil. M. I, 293.

σασθε, ὅτι ὁ παθὼν ἐν σαρκὶ, πέπαυται ἁμαρτίας, εἰς τὸ μηκέτι ἀνθρώπων ἐπι- 2.
θυμίαις, ἀλλὰ θελήματι θεοῦ τὸν ἐπίλοι-
πον ἐν σαρκὶ βιῶσαι χρόνον. ἀρκετὸς 3.
γὰρ ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου
τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι, πε-
πορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις,
οἰνοφλυγίαις, κώμοις, πότοις καὶ ἀθεμί-
τοις εἰδωλολατρείαις· ἐν ᾧ ξενίζονται, 4.
μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς
ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες· οἳ 5.
ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι
ζῶντας καὶ νεκρούς. εἰς τοῦτο γὰρ καὶ 6.
νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ
ἀνθρώπους σαρκὶ, ζῶσι δὲ κατὰ θεὸν πνεύ-
ματι

παθὼν ἐν σαρκὶ] ἐν — E.

πέπαυται] + ἀπό. E.

3. γὰρ ἡμῖν] ἡμῖν — t γὰρ ὑμῖν. E. Quod haec indigna censebant Apostolo.

κατεργάσασθαι] κατειργάσθαι. E. Cuilibet Graeco hoc in mentem poterat venire. Ergo etiam Clem. Alex. 258. qui haec negligenter laudat, Petri tamen nomine addito. Sic ibid. est βούλημα, omisso τοῦ βίου.

4. ἀσωτίας] Ut hic non nulli exhibent ἀσωτεία, ab ἀσωτεύεσθαι, ita contra paullo ante plures, et hic, et alibi habent, εἰδωλολατρίας.

ἀνάχυσιν] Sic Orig. I, 261. b. κακίας χύσιν et κακίαν χεομένην. In bonam partem ψυχῆς ἀνάχυσιν et ἀνάχυσιν habet Philo p. 578. f. et 882. f. ubi non differt ab διάχυσις.

6. ἀνθρώπους] ἄνθρωπον. E. Hoc frequentius occurrit.

7. ματι. πάντων δὲ τὸ τέλος ἤγγικε. σωφρονήσατε οὖν καὶ νήψατε εἰς τὰς προσευχάς
8. πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες· ὅτι * ἀγάπη καλύψει
9. πλῆθος ἁμαρτιῶν. φιλόξενοι εἰς ἀλλήλους, ἄνευ γογγυσμῶν. ἕκαστος, καθὼς
10. ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάρι-
11. τος θεοῦ. εἴ τις λαλεῖ, ὡς λόγια θεοῦ· εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος, * ὡς χορηγεῖ ὁ θεός· ἵνα ἐν πᾶσι δοξάζηται ὁ θεὸς διὰ ἰησοῦ χριστοῦ, ᾧ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.
[Τέλος.] Τέλος τῆ

3. ὅτι κοινωνίᾳ τῇ πρὸς χριστὸν κρατεῖν χρὴ τῶν φυσικῶν παθῶν· ἐλπίδι δὲ τῇ εἰς αὐτὸν φέρειν τὰς παρ' ἑτέρων πάθας.

I. 12. [Ἀρχή.] ἀγαπητοὶ, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν

IV, 12. I. τῇ ε. τῆς λγ. ἐβδ. ἀγαπητοὶ, μὴ ξενίζεσθε.

7. εἰς τὰς προσευχὰς] τὰς — E. Cyrill. V, a. 362. 676. Damasc. II, 465.

8. πάντων δὲ] δὲ — E. Cyrill. l. l.
ἑαυτοὺς] ἀλλήλους. E. Chrys. II, 207.
ὅτι ἡ] ἡ —. Cyrill. l. l. Servat altero loco.
καλύψει] καλύπτει. D. Cyrill. l. l. Damasc. II, 354. Futuro hic non erat opus, ut Iac. 5, 20. Huc trahunt Clem. Alex. 353. ἐπὰν δὲ ἀγάπη καλύψῃ. 261. 389. 518. et edit. Pott. 956. καλύπτει.

9. γογγυσμῶν] γογγυσμοῦ. E. Alibi in his est singularis in N. T.

11. ὃς χορηγεῖ] ὡς χορηγεῖ. A. v. P.

ὑμῖν πυρώσει, πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν συμβαίνοντος· ἀλλὰ, * 13. καθὸ κοινωνεῖτε τοῖς τοῦ χριστοῦ παθήμασι, χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι. εἰ 14. ὀνειδίζεσθε ἐν ὀνόματι χριστοῦ, μακάριοι· ὅτι τὸ τῆς δόξης * καὶ δυνάμεως, καὶ τὸ τοῦ θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀναπάυεται· κατὰ μὲν αὐτοὺς βλασφημεῖται, κατὰ δὲ ὑμᾶς δοξάζεται. μὴ γάρ τις ὑμῶν πα- 15. σχέτω, ὡς φονεὺς, ἢ κλέπτης, ἢ κακοποιὸς, ἢ ὡς ἀλλοτριοεπίσκοπος· εἰ δὲ, ὡς χρι- 16. στιανὸς,

12. πυρώσει] Schol. Cod. Aug. 6. explicat θλίψιν. Severus Antioch. in catena: πυροχρείας, θλίψεις καὶ ἀρρωστίας σωματικάς. v. P.

13. καθὼς] καθό. Sic et Clem. Alex. 493.

14. ἐν ὀνόματι χριστοῦ] ἐν χριστῷ. E. Nominatim Cyrill. V, a. 763. mox ibid. μακάριοί ἐστι τῆς δόξης, nimirum ἐνεκα.

χριστοῦ] πυρίου ἰησοῦ χριστοῦ. E. Cyrill. V, a. 375.

δόξης] + καὶ δυνάμεως. Omittit Clem. Alex. l. l. Cyrill. ll. ll. bis.

ἐφ' ὑμ. ἀναπάυεται] ἐφ' ἡμᾶς ἀναπέπαυται. Cyrill. V, a. 375. Sic, sed ὑμᾶς 763. ἀναπέπαυται etiam Ath. I, 538.

ἀναπάυεται] ἀναπέπαυται D. ἀναπάυσεται t ἐπαναπαύεται. E. Vulgatum Clem. Alex. l. l. Mox, ante κατὰ, scholiasta Cod. Aug. 6. intelligit ὑπερ.

15. ἢ ὡς ἀλλοτριοεπίσκοπος] — Cyrill. IV, 903. Post φονεὺς Theophyl. addit: ἢ λοίδορος. Ἀλλότριος ἐπίσκο-

σιανὸς, μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν
17. Θεὸν ἐν τῷ μέρει τούτῳ. ὅτι ὁ καιρὸς τοῦ
ἄρξασθαι τὸ κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ
Θεοῦ· εἰ δὲ πρῶτον ἀφ' ἡμῶν, τί τὸ τέλος
τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ εὐαγγελίῳ;
18. καὶ εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς
19. καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; ὥστε καὶ
οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ Θεοῦ,
ὡς πιστῷ * κτίστῃ παρατιθέσθωσαν τὰς
ψυχὰς * αὐτῶν ἐν ἀγαθοποιΐᾳ.

Ζ. παραίνεσις πρεσβυτέροις περὶ ἐπισκοπῆς τοῦ ποιμνίου· ἐν ᾗ, περὶ κοινῆς πάντων πρὸς ἕκαστον ταπεινοφροσύνης, εἰς νίκην τὴν κατὰ τοῦ διαβόλου.

Πρεσ-

ἐπίσκοπος, quod duo infimi habent, et ἀλλοτρίως ἐπίσκοπος Codicis 40. ortum eſt ex veteri ſcribendi modo. Codex enim Guelpherb. 16. 7. habet ἀλλοτριοεπίσκοπος. De hoc iam alibi ex aliis Codd. monui. Contra alii Codd. hic in ima parte habent ſemicirculum, quo notatur vox compoſita, ut in ἐπιτοαυτὸ etc.

16.] ἐν τῷ μέρει] ἐν τῷ ὀνόματι t ἐπὶ τῷ ὀνόματι. E. Cyrill. l. l.

17.] Iſidor. Peluſ. lib. II. epiſt. 208. cum hoc comparat Enech. 9, 6. Sic et Baſil. M. I, 383. Habet etiam 580. Idem verſum 18. ſine varietate II, 218.

19. ὥστε καὶ] + ὑπὸ ἄλλων, omiſſo οἱ. E. Nominatim Cyrill I, a. 189. mox, θέλημα αὐτοῦ, πιστῷ κτίστῃ. Sed V, a. 214 nominatim: ὥστε καὶ οἱ πάσχ. πιστῷ κτίστῃ παρατ. Ὡς, ante πιστῷ, omittit etiam Ath. I, 377. et Procop. in caten. Niceph. I, 1624. ibid. τὰς ἑαυτῶν ψυχάς.

κτιστῇ] Codd. κτίστῃ. Sic et in aliis ſcriptoribus inveni in Codd.

ψυχὰς ἑαυτῶν] ψυχὰς αὐτῶν. Cyrill. etiam l. l.

Πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ V, 1.
συμπρεσβύτερος καὶ μάρτυς τῶν τοῦ χρι-
στοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης ἀπο-
καλύπτεσθαι δόξης κοινωνὸς, ποιμάνατε 2.
τὸ ἐν ὑμῖν ποίμνιον τοῦ θεοῦ, ἐπισκοποῦν-
τες, μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως· μηδὲ
αἰσχροκερδῶς, ἀλλὰ προθύμως· μηδ', ὡς 3.
κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι
γινόμενοι τοῦ ποιμνίου· καὶ, φανερωθέντος 4.
τοῦ ἀρχιποίμενος, κομιεῖσθε τὸν ἀμαράντι-
νον

V, 1. πρεσβυτέρους] + ἵνα. D. Cyrill. I, g. 121. omittit V, a. 300. habet rursus 374.

ὁ συμπρεσβ.] ὡς συμπρεσβ. E.

ὁ καὶ τῆς] καὶ — E. Cyrill. V, a. 300.

2. ποιμάνατε] ποιμαίνετε. E. Cyrill. V, a. 300. altero loco vulgatum.

τοῦ θεοῦ] τοῦ χριστοῦ. E. Theophyl. et Cyrill. I, g. 121. Sed τοῦ θεοῦ. V, a. 300.

ἑκουσίως] + κατὰ θεόν. E. Sic et Theophyl. Damasc. II, 511. id reiicit post προθύμως. Ibid. vers. 3. est τύπος.

3. τῶν κλήρων] τοῦ κλήρου. E. Lectio monachica! Vulgatum Cyrill. II, 63. mox γινόμενοι. III, 824. solum laudat τύπους γενέσθαι τοῖς ποιμνίοις. Basil. II, 162. huc respiciens: ὡς κατεξουσιάζων τῶν κλήρων.

4. καὶ φανερωθ.] Theophyl. recte: καὶ, ἀντὶ τοῦ, ἵνα. Latini ergo Codd. non nulli habent, ut ego edidi, *ut — percipiatis.*

ἀρχιποιμένος] ἀρχιποίμενος. Codd. plerique mei, in his tres, quos postea comparavi.

ἀμαράντινον] Edit. Gregor. vitiose ἀμαράντιον. Usitatius est ἀμάραντον. Sed Codd. nihil mutant. v. Chrys. IV, 424. b. ἀμάραντον Orig. II, 584.

5. νον τῆς δόξης στέφανον. ὁμοίως νεώτεροι ὑποτάγητε πρεσβυτέροις· πάντες δὲ ἀλλήλοις ὑποτασσόμενοι, τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε, ὅτι ὁ θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

ΙΑ. 6. [Τέλος.] [Ἀρχή.] ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ, ἵνα ὑμᾶς 7. ὑψώσῃ ἐν καιρῷ· πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιῤῥίψαντες ἐπ' αὐτὸν, ὅτι αὐτῷ 8. μέλει περὶ ὑμῶν. νήψατε, γρηγορήσατε, ὁ

Τέλος τῆς

V, 6. ΙΑ. ἀπριλλίου κε. τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ μάρκου· ἀδελφοί, ταπεινώθητε ὑπὸ τήν.

6. ἐγκομβώσασθε] ἐγκολπώσασθε t ἐγκολπίσασθε. E. v. P. Multa de hoc vocabulo collegit Weſt. Equidem interpretor ἐνδύσασθε, quo alibi utuntur ſcriptores ſacri, ſeu, ἐπενδύσασθε. Schol. Cod. Aug. 6. ἐγκομβώσασθε, ἀντὶ τοῦ, ἐνειλήσασθε, περιβάλεσθε ἢ ἀναστείλασθε.

ὁ θεὸς] κύριος. Baſil. M. I, 440.

6. ἐν καιρῷ] In catena iſta vetuſta ex Chryſ. eſt: οὐχ ἁπλῶς τὸ, ὑψωθῆτε, ἀλλ', ἐν καιρῷ, προσέθηκεν. Atqui ὑψωθῆτε h. l. non legitur. ὑψώσῃ habet etiam Orig. I, 489. Attingit etiam 641. bis. III, 724. Poſt καιρῷ aliqui addunt ἐπισκοπῆς. Sic ex meis ſolus Aug. 6. qui eſt cum ſcholiis. In Cod. Typogr. Synod. Moſq. 6. qui etiam ſcholia habet, adiectum eſt, ut explicatio, τῆς κρίσεως. Boni Codd. neutrum agnoſcunt.

8.] Hunc verſum laudat Chryſ. I, 164. 607. II, 676. IV, 23. V, 54. 423. VIII, 349. IX, 252. XI, 240. Cyrill. III, 832. Damaſc. II, 450. 617. Orig. III, 162. 345. 338.

* ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος, περιπατεῖ, ζητῶν * τινὰ * καταπιεῖν· ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει, εἰ- 9.
δότες τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι.

H. ἐυχὴ ὑπὲρ τελειώσεως τῶν πιστευόντων.

ὁ δὲ θεὸς πάσης χάριτος, ὁ καλέσας 10.
ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν χριστῷ ἰησοῦ, ὀλίγον παθόντας, αὐτὸς, καταρτίσαι ὑμᾶς, * στηρίξει, * σθενώσει, * θεμελιώσει. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς 11.
τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. διὰ σι- 12.
λουανοῦ ὑμῖν, τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λογίζομαι,

ὅτι] ὁ. Edit. Greg. per errorem habet ὅτι, omisso ὁ.

τίνα καταπίῃ] τινὰ καταπιεῖν. A. τινὰ καταπιεῖν habet etiam Cod. Vat. apud Orig. III, 162. a. Ath. II, 621. ita: ὃς περιάγει ζητῶν τίνα καταπίει. Sic!

10. ἡμᾶς] ὑμᾶς. E.

αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθενώσαι, θεμελιώσαι] Sic est in edit. Gregor. Codices postulant: αὐτὸς, καταρτίσαι ὑμᾶς, στηρίξει, σθενώσει, θεμελιώσει. Constructio ergo est: αὐτὸς στηρίξει, σθενώσει, θεμελιώσει, (intellige, ὥστε, aut εἰς τὸ) καταρτίσαι (est infinitivus.) ὑμᾶς. Nonnulli καταρτίσει habent, quod facillimum est. Unus καταρτίσας. Deberet esse καταρτίσων.

11. ἡ δόξα καὶ τὸ] καὶ τὸ — E. Sic etiam delendum esset ἡ.

ζομαι, δι' ὀλίγων ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν, ταύτην εἶναι ἀληθῆ χάριν
13. τοῦ θεοῦ, εἰς ἣν ἔστητε. ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ, καὶ μάρ-
14. κος ὁ υἱός μου. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης. εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν χριστῷ ἰησοῦ. ἀμήν. [Τέλος.]

Τέλος τοῦ ἀποστόλου.

Τοῦ ἁγίου ἀποστόλου πέτρου καθολικὴ πρώτη. στίχων σλς.

13.] Sine varietate Orig. III, 440.

Η

δευτέρα

Πέτρου

Ἐπιστολή.

Α. περὶ κλήσεως, τῆς ἐν πίστει, ἔργοις βεβαιουμένης τοῖς τῆς ἀρετῆς, ἐλπίδι τῶν μελλόντων ἀγαθῶν.

[Ἀρχή.] Συμεὼν πέτρος, δοῦλος καὶ ἀπόστο- I, 1. A
λος ἰησοῦ χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι
πίστιν ἐν δικαιοσύνῃ τοῦ θεοῦ ἡμῶν, καὶ σω-
τῆρος * ἰησοῦ χριστοῦ· [Ἀρχή.] χάρις 2. A.
ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει
τοῦ θεοῦ, καὶ ἰησοῦ * χριστοῦ τοῦ κυρίου
ἡμῶν. ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως 3.
αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρη-
μένης, διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος
ἡμᾶς

I, 1. A. τῇ σ. τῆς λγ. ἰβδ. συμεὼν πίτρος.

I, 2. A. ἰις σχῆμα μοναχοῦ· ἀδελφοὶ, χάρις.

I, 1. σωτῆρος ἡμῶν] ἡμῶν —. Deest etiam in quatuor, quos postea examinavi. Omittunt etiam aliae editt.

2. καὶ ἰησοῦ] + χριστοῦ.

3. δεδωρημένης] δεδωρημένα. E. In meis lectionariis hoc non inveni. Sed nec Wetstenius, cuius fortasse

4. ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, δι' ὧν * τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν κόσμῳ
5. ἐν ἐπιθυμίᾳ φθορᾶς· καὶ αὐτὸ * δὲ τοῦτο, σπουδὴν πᾶσαν παρεισενέγκαντες, ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν

taſſe in hac epiſtola nulla ſunt. Vulgata latina ineptiſſime: *quomodo — donata ſunt.* ὡς reſpondet τῷ ἵνα, δεδωρημένης vero active dicitur. Cyrill. V, a. 375. ὡς τὰ πάντα — δεδωρημένου — καλεῖ. ἡμᾶς ἰδίᾳ δόξῃ καὶ ἀρετῇ. Δεδωρημένου, haud dubie voluit θεοῦ, vel etiam χριστοῦ. Ambiguitatem enim habet. Sed idem 604. ὡς τὰ πάντα — δεδωρημένης — ἰδίᾳ δόξῃ καὶ ἀρετῇ. Griesbachius ſolum habet: "δεδωρημένου — ἰδίᾳ κ. τ. λ. *Cyr.*" Nonne hoc eſt fallere lectores? Ut taceam, propter iſtud *Cyr.* perveſtiganda eſſe ſeptem volumina. ἰδίᾳ δόξῃ καὶ ἀρετῇ ex meis ſolus infimus 13. habet.

4.] Attingit Cyrill. I, g. 329. ac nominatim Ath. I, 331. ubi tamen deeſt διὰ τούτων, quo ibi non opus erat. Sed διὰ τούτων omittit etiam [illegible]II, 411.

δι' ὧν τὰ μέγιστα ἡμῖν καὶ τίμια ἐπαγγέλματα δεδώρηται] δι' ὧν τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα δεδώρηται.

ἀποφυγόντες] Scholiaſtae recte explicant ἀπαλλαγέντες.

5. αὐτὸ τοῦτο δὲ] αὐτὸ δὲ τοῦτο. D.

παρεισενέγκαντες] παρεισενεγκόντες. E. Cyrill. V, c. 2. laudans ad verſ. 8 fin. Hunc ipſum Cyrilli locum Wetſt. laudat ex Act. Epheſ. pag. 1. verſ. 28. ſeqq.

ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ 6.
γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ
τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέ-
βειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελ- 7.
φίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην.
ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα, καὶ πλεονά- 8.
ζοντα, οὐκ ἀργοὺς, οὐδὲ ἀκάρπους καθίστη-
σιν εἰς τὴν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ
ἐπίγνωσιν. ᾧ γὰρ μὴ πάρεστι ταῦτα, 9.
τυφλός ἐστι, μυωπάζων, λήθην λαβὼν τοῦ
καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν.

Β. παραγγελία εἰς ὑπόμνησιν τῆς διδασκαλίας· μετὰ
τὴν ἀνάλυσιν αὐτοῦ, καὶ ὅπως ἐν ὄρει Θαβὼρ τῆς τοῦ
Θεοῦ περὶ τοῦ υἱοῦ ἐπήκουσε φωνῆς.

διὸ μᾶλλον, [Ἀρχή.] ἀδελφοὶ, σπουδάσα- 10. I
τε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν
ποιεῖσθαι. ταῦτα γὰρ ποιοῦντες, οὐ μὴ
Τέλος τῆς σ. καὶ τοῦ σχήματος. πταίσητέ ποτε. [Τέλος.] οὕτω γὰρ πλου- 11.
σίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς
τὴν αἰώνιον βασιλείαν τοῦ κυρίου ἡμῶν καὶ
σω[illegible]ρος ἰησοῦ χριστοῦ. διὸ οὐκ ἀμελήσω 12.
* ἀεὶ

I, 10. Β. εἰς τὴν μεταμόρφωσιν τοῦ σωτῆρος· ἀδελφοὶ, σπουδάσατε.

8. ὑπάρχοντα] παρόντα. E. Cyrill, l. l.

9. ἁμαρτιῶν] ἁμαρτημάτων. D. Damasc II, 398. ᾧ μὴ πάρεστι γνῶσις, τυφλός — πάλαι ἁμαρτημάτων.

10. σπουδάσατε] + ἵνα διὰ τῶν καλῶν ἔργων. E. Ex meis unus Mosq. c. et infimus 13.

12. οὐκ ἀμελήσω] μελλήσω ι οὐ μελλήσω. E. Nullus nec

* ἀεὶ ὑμᾶς ὑπομιμνήσκειν περὶ τούτων, καίπερ εἰδότας καὶ ἐστηριγμένους ἐν τῇ
13. παρούσῃ ἀληθείᾳ. δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διε-
14. γείρειν ὑμᾶς ἐν ὑπομνήσει· εἰδὼς, ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός
μου, καθὼς καὶ ὁ κύριος ἡμῶν ἰησοῦς χρι-
15. στὸς ἐδήλωσέ μοι. σπουδάσω δὲ καὶ ἑκάστοτε, ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν
16. τούτων μνήμην ποιεῖσθαι. οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος.

nec malus, nec bonus Codex iſta agnoſcit, ſed peſſimi omnium. μελλήσω, quod prorſus ſtultum erat, addito ου probabiliter correctum. Scribae haud raro μέλλει pe duo λλ exhibent. De eo nemo dubitat, qui Codices tractavit. Ergo hic ſomnolentus aliquis ſcriba exhibuerat ἀμελλήσω. Hinc corruptio. Haec eſt illa recenſio occidentalis. Vetus Itata, nimirum Sabatierii, hoc loco, ut cum Griesbachio loquar, *hiat. Lucifer* autem *occidit.* —. *Pelago nox incubat atra.*

ὑμᾶς ἀεὶ] ἀεὶ ὑμᾶς. Sic et poſtea inveni. Aliqui omittunt ἀεί. Scilicet nec cum μελλήσω, nec cum *incipiam* conſiſtere poterat.

14. ταχινὴ] Wetſtenius, ergo etiam Griesbachius: ταχίστη. 36. *Cod. lat.* — In latino eſt, *velox.* Ταχινὸς habet Theocrit. Id. 2, 7. 14, 40. Alii et hic, et 2, 1. exhibent ταχεινὸς et ταχυνός.

σκηνώματος] σώματος. E.

ὑμῖν πυρώσει, πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν συμβαίνοντος· ἀλλὰ, * 13. καθὸ κοινωνεῖτε τοῖς τοῦ χριστοῦ παθήμασι, χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι. εἰ 14. ὀνειδίζεσθε ἐν ὀνόματι χριστοῦ, μακάριοι· ὅτι τὸ τῆς δόξης * καὶ δυνάμεως, καὶ τὸ τοῦ θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀναπάυεται· κατὰ μὲν αὐτοὺς βλασφημεῖται, κατὰ δὲ ὑμᾶς δοξάζεται. μὴ γάρ τις ὑμῶν πα- 15. σχέτω, ὡς φονεὺς, ἢ κλέπτης, ἢ κακοποιὸς, ἢ ὡς ἀλλοτριοεπίσκοπος· εἰ δὲ, ὡς χρι- 16. στιανὸς,

12. πυρώσει] Schol. Cod. Aug. 6. explicat θλίψιν. Severus Antioch. in catena: τινοχωρίας, θλίψεις καὶ ἀῤῥωστίας σωματικάς. v. P.

13. καθὼς] καθό. Sic et Clem. Alex. 493.

14. ἐν ὀνόματι χριστοῦ] ἐν χριστῷ. E. Nominatim Cyrill. V, a. 753. mox ibid. μακάριοί ἐστε τῆς δόξης, nimirum ἕνεκα.

χριστοῦ] πυρίου ἰησοῦ χριστοῦ. E. Cyrill. V, a. 575.

δόξης] + καὶ δυνάμεως. Omittit Clem. Alex. l. l. Cyrill. ll. ll. bis.

ἐφ' ὑμ. ἀναπάυεται] ἐφ' ἡμᾶς ἀναπέπαυται. Cyrill. V, a. 375. Sic, ſed ὑμᾶς 753. ἀναπέπαυται etiam Ath. I, 538.

ἀναπάυεται] ἀναπέπαυται D. ἀναπάυσεται t ἐπαναπάυεται. E. Vulgatum Clem. Alex. l. l. Mox, ante κατὰ, ſcholiaſta Cod. Aug. 6. intelligit ὅπερ.

15. ἢ ὡς ἀλλοτριοεπίσκοπος] — Cyrill. IV, 903. Poſt φονεὺς Theophyl. addit: ἢ λοίδορος. Ἀλλότριος ἐπίσκο-

σιανὸς, μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν
17. Θεὸν ἐν τῷ μέρει τούτῳ. ὅτι ὁ καιρὸς τοῦ
ἄρξασθαι τὸ κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ
Θεοῦ· εἰ δὲ πρῶτον ἀφ' ἡμῶν, τί τὸ τέλος
τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ εὐαγγελίῳ;
18. καὶ εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς
19. καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; ὥστε καὶ
οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ Θεοῦ,
ὡς πιστῷ * κτίστῃ παρατιθέσθωσαν τὰς
ψυχὰς * αὐτῶν ἐν ἀγαθοποιΐᾳ.

Z. παραίνεσις πρεσβυτέροις περὶ ἐπισκοπῆς τοῦ ποιμνίου· ἐν ᾗ, περὶ κοινῆς πάντων πρὸς ἕκαστον ταπεινοφροσύνης, εἰς νίκην τὴν κατὰ τοῦ διαβόλου.

Πρεσ-

ἐπίσκοπος, quod duo infimi habent, et ἀλλοτρίως ἐπίσκοπος Codicis 40. ortum eſt ex veteri ſcribendi modo. Codex enim Guelpherb. 16. 7. habet ἀλλοτριεπίσκοπος. De hoc iam alibi ex aliis Codd. monui. Contra alii Codd. hic in ima parte habent ſemicirculum, quo notatur vox compoſita, ut in ἐπιτοαυτὸ etc.

16.] ἐν τῷ μέρει] ἐν τῷ ὀνόματι t ἐπὶ τῷ ὀνόματι. E. Cyrill. l. l.

17.] Iſidor. Peluſ. lib. II. epiſt. 208. cum hoc comparat Ezech. 9, 6. Sic et Baſil. M. I, 383. Habet etiam 580. Idem verſum 18. ſine varietate II, 218.

19. ὥστε καὶ] + ὑπὸ ἄλλων, omiſſo οἱ. E. Nominatim Cyrill I, a. 189. mox, θέλημα αὐτοῦ, πιστῷ κτίσῃ. Sed V, a. 214 nominatim: ὥστε καὶ οἱ πάσχ. πιστῷ κτίσῃ παρατ. Ὡς, ante πιστῷ, omittit etiam Ath. I, 377. et Procop. in caten. Niceph. I, 1624. ibid. τὰς ἑαυτῶν ψυχάς.

κτιστῇ] Codd. κτίσῃ. Sic et in aliis ſcriptoribus inveni in Codd.

ψυχὰς ἑαυτῶν] ψυχὰς αὐτῶν. Cyrill. etiam l. l.

Πρεσβυτέρους τοὺς ἐν ὑμῖν παρακαλῶ ὁ V, 1.
συμπρεσβύτερος καὶ μάρτυς τῶν τοῦ χρι-
στοῦ παθημάτων, ὁ καὶ τῆς μελλούσης ἀπο-
καλύπτεσθαι δόξης κοινωνὸς, ποιμάνατε 2.
τὸ ἐν ὑμῖν ποίμνιον τοῦ θεοῦ, ἐπισκοποῦν-
τες, μὴ ἀναγκαστῶς, ἀλλ' ἑκουσίως· μηδὲ
αἰσχροκερδῶς, ἀλλὰ προθύμως· μηδ', ὡς 3.
κατακυριεύοντες τῶν κλήρων, ἀλλὰ τύποι
γινόμενοι τοῦ ποιμνίου· καὶ, φανερωθέντος 4.
τοῦ ἀρχιποίμενος, κομιεῖσθε τὸν ἀμαράντι-
νον

V, 1. πρεσβυτέρους] + ἴνα. D. Cyrill. I, g. 121. omittit V, a. 300. habet rurſus 374.

ὁ συμπρεσβ.] ὡς συμπρεσβ. E.

ὁ καὶ τῆς] καὶ — E. Cyrill. V, a. 300.

2. ποιμάνατε] ποιμαίνετε. E. Cyrill. V, a. 300. altero loco vulgatum.

τοῦ θεοῦ] τοῦ χριστοῦ. E. Theophyl. et Cyrill. I, g. 121. Sed τοῦ θεοῦ. V, a. 300.

ἑκουσίως] + κατὰ θεόν. E. Sic et Theophyl. Damaſc. II, 511. id reiicit poſt προθύμως. Ibid. verſ. 3. eſt τύπος.

3. τῶν κλήρων] τοῦ κλήρου. E. Lectio monachica! Vulgatum Cyrill. II, 63. mox γινόμενοι. III, 824. ſolum laudat τύπους γενέσθαι τοῖς ποιμνίοις. Baſil. II, 162. huc reſpiciens: ὡς κατεξουσιάζων τῶν κλήρων.

4. καὶ φανερωθ.] Theophyl. recte: καὶ, ἀντὶ τοῦ, ἵνα. Latini ergo Codd. non nulli habent, ut ego edidi, *ut — percipiatis.*

ἀρχιποιμένος] ἀρχιποίμνιος. Codd. plerique mei, in his tres, quos poſtea comparavi.

ἀμαράντινον] Edit. Gregor. vitioſe ἀμαράντιον. Uſitatius eſt ἀμάραντον. Sed Codd. nihil mutant. v. Chryſ. IV, 424. b. ἀμάραντος Orig. II, 584.

5. νον τῆς δόξης φανερον. ὁμοίως νεώτεροι ὑποτάγητε πρεσβυτέροις· πάντες δὲ ἀλλήλοις ὑποτασσόμενοι, τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε, ὅτι ὁ θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

ΙΑ. 6. [Τέλος.] [Ἀρχή.] ταπεινώθητε οὖν ὑπὸ τέλος τῆ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ, ἵνα ὑμᾶς

7. ὑψώσῃ ἐν καιρῷ· πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιῤῥίψαντες ἐπ' αὐτὸν, ὅτι αὐτῷ

8. μέλει περὶ ὑμῶν. νήψατε, γρηγορήσατε, ὁ

V, 6. ΙΑ. ἀπριλλίου κε. τοῦ ἁγίου ἀποστόλου καὶ εὐαγγελιστοῦ μάρκου· ἀδελφοὶ, ταπεινώθητε ὑπὸ τήν.

6. ἐγκομβώσασθε] ἐγκολπώσασθε t ἐγκολπίσασθε. E. v. P. Multa de hoc vocabulo collegit Weſt. Equidem interpretor ἐνδύσασθε, quo alibi utuntur ſcriptores ſacri, ſeu, ἐπενδύσασθε. Schol. Cod. Aug. 6. ἐγκομβώσασθε, ἀντὶ τοῦ, ἐπιλήσασθε, περιβάλεσθε ἢ ἀνασείλασθε.

ὁ θεὸς] κύριος. Baſil. M. I, 440.

6. ἐν καιρῷ] In catena iſta vetuſta ex Chryſ. eſt: οὐχ ἁπλῶς τὸ, ὑψωθῆτε, ἀλλ', ἐν καιρῷ, προσέθηκεν. Atqui ὑψωθῆτε h. l. non legitur. ὑψώσῃ habet etiam Orig. I, 489. Attingit etiam 641. bis. III, 724. Poſt καιρῷ aliqui addunt ἐπισκοπῆς. Sic ex meis ſolus Aug. 6. qui eſt cum ſcholiis. In Cod. Typogr. Synod. Moſq. 6. qui etiam ſcholia habet, adiectum eſt, ut explicatio, τῆς κρίσεως. Boni Codd. neutrum agnoſcunt.

8.] Hunc verſum laudat Chryſ. I, 164. 607. II, 676. IV, 23. V, 54. 423. VIII, 349. IX, 252. XI, 240. Cyrill. III, 832. Damaſc. II, 450. 617. Orig. III, 162. 345. 338.

* ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος, περιπατεῖ, ζητῶν * τινὰ * καταπιεῖν· ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει, εἰ- 9.
δότες τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι.

H. ἐυχὴ ὑπὲρ τελειώσεως τῶν πιστευόντων.

ὁ δὲ θεὸς πάσης χάριτος, ὁ καλέσας 10.
ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν χριστῷ ἰησοῦ, ὀλίγον παθόντας, αὐτὸς, καταρτίσαι ὑμᾶς, * στηρίξει, * σθενώσει, * θεμελιώσει. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς 11.
τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. διὰ σι- 12.
λουανοῦ ὑμῖν, τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λογί-
ζομαι,

ὅτι] ὁ. Edit. Greg. per errorem habet ὅτι, omisso ὁ.

τίνα καταπίῃ] τινὰ καταπιεῖν. A. τινὰ καταπιεῖν habet etiam Cod. Vat. apud Orig. III, 162. a. Ath. II, 621. ita: ὃς περιάγει ζητῶν τίνα καταπίει. Sic!

10. ἡμᾶς] ὑμᾶς. E.

αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθενώσαι, θεμελιώσαι] Sic est in edit. Gregor. Codices postulant: αὐτὸς, καταρτίσαι ὑμᾶς, στηρίξει, σθενώσει, θεμελιώσει. Constructio ergo est: αὐτὸς στηρίξει, σθενώσει, θεμελιώσει, (intellige, ὥστε, aut εἰς τὸ) καταρτίσαι (est infinitivus.) ὑμᾶς. Nonnulli καταρτίσει habent, quod facillimum est. Unus καταρτίσας. Deberet esse καταρτίσων.

11. ἡ δόξα καὶ τὸ] καὶ τὸ — E. Sic etiam delendum esset ἡ.

ζομαι, δι' ὀλίγων ἔγραψα, παρακαλῶν
καὶ ἐπιμαρτυρῶν, ταύτην εἶναι ἀληθῆ χάριν
13. τοῦ θεοῦ, εἰς ἣν ἔστητε. ἀσπάζεται
ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ, καὶ μάρ-
14. κος ὁ υἱός μου. ἀσπάσασθε ἀλλήλους ἐν
φιλήματι ἀγάπης. εἰρήνη ὑμῖν πᾶσι τοῖς
ἐν χριστῷ Ἰησοῦ. ἀμήν. [Τέλος.]

Τέλος τοῦ ἀποστόλου.

Τοῦ ἁγίου ἀποστόλου πέτρου καθολικὴ πρώτη.
στίχων σλς.

13.] Sine varietate Orig. III, 440.

Η

δευτέρα

Πέτρου

Ἐπιστολή.

Α. περὶ κλήσεως, τῆς ἐν πίστει, ἔργοις βεβαιουμένης τοῖς τῆς ἀρετῆς, ἐλπίδι τῶν μελλόντων ἀγαθῶν.

[Ἀρχή.] Συμεὼν πέτρος, δοῦλος καὶ ἀπόστο- I, 1. A.
λος ἰησοῦ χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι
πίστιν ἐν δικαιοσύνῃ τοῦ θεοῦ ἡμῶν, καὶ σω-
τῆρος * ἰησοῦ χριστοῦ. [Ἀρχή.] χάρις 2. A.
ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει
τοῦ θεοῦ, καὶ ἰησοῦ * χριστοῦ τοῦ κυρίου
ἡμῶν. ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως 3.
αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρη-
μένης, διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος
ἡμᾶς

I, 1. A. τῇ σ. τῆς λγ. ἰβϑ. συμεὼν πέτρος.

I, 2. A. εἰς σχῆμα μοναχοῦ· ἀδελφοὶ, χάρις.

I, 1. σωτῆρος ἡμῶν] ἡμῶν —. Deest etiam in quatuor, quos postea examinavi. Omittunt etiam aliae editt.

2. καὶ ἰησοῦ] + χριστοῦ.

3. δεδωρημένης] δεδωρημένα. E. In meis lectionariis hoc non inveni. Sed nec Wetstenius, cuius fortasse

4. ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, δι' ὧν * τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν κόσμῳ
5. ἐν ἐπιθυμίᾳ φθορᾶς· καὶ αὐτὸ * δὲ τοῦτο, σπουδὴν πᾶσαν παρεισενέγκαντες, ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν

taſſe in hac epiſtola nulla ſunt. Vulgata latina ineptiſſime: *quomodo — donata ſunt.* ὡς reſpondet τῷ ἵνα, δεδωρημένης vero active dicitur. Cyrill. V, a. 375. ὡς τὰ πάντα — δεδωρημένου — καλεῖ. ἡμᾶς ἰδίᾳ δόξῃ καὶ ἀρετῇ. Δεδωρημένου, haud dubie voluit θεοῦ, vel etiam χριστοῦ. Ambiguitatem enim habet. Sed idem 604. ὡς τὰ πάντα — δεδωρημένης — ἰδίᾳ δόξῃ καὶ ἀρετῇ. Griesbachius ſolum habet: "δεδωρημένου — ἰδίᾳ κ. τ. λ. *Cyr.*" Nonne hoc eſt fallere lectores? Ut taceam, propter iſtud *Cyr.* perveſtiganda eſſe ſeptem volumina. ἰδίᾳ δόξῃ καὶ ἀρετῇ ex meis ſolus infimus 13. habet.

4.] Attingit Cyrill. I, g. 329. ac nominatim Ath. I, 331. ubi tamen deeſt διὰ τούτων, quo ibi non opus erat. Sed διὰ τούτων omittit etiam II, 411.

δι' ὧν τὰ μέγιστα ἡμῖν καὶ τίμια ἐπαγγέλματα δεδώρηται] δι' ὧν τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα δεδώρηται.

ἀποφυγόντες] Scholiaſtae recte explicant ἀπαλλαγέντες.

5. αὐτὸ τοῦτο δὲ] αὐτὸ δὲ τοῦτο. D.

παρεισενέγκαντες] παρεισενεγκόντες. E. Cyrill. V, c. 2. laudans ad verſ. 8 fin. Hunc ipſum Cyrilli locum Wetſt. laudat ex Act. Epheſ. pag. 1. verſ. 28. ſeqq.

ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ 6.
γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ
τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέ-
βειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελ- 7.
φίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην.
ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα, καὶ πλεονά- 8.
ζοντα, οὐκ ἀργοὺς, οὐδὲ ἀκάρπους καθίστη-
σιν εἰς τὴν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ
ἐπίγνωσιν. ᾧ γὰρ μὴ πάρεστι ταῦτα, 9.
τυφλός ἐστι, μυωπάζων, λήθην λαβὼν τοῦ
καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν.

Β. παραγγελία εἰς ὑπόμνησιν τῆς διδασκαλίας, μετὰ τὴν ἀνάλυσιν αὐτοῦ, καὶ ὅπως ἐν ὄρει Θαβὰς τῆς τοῦ Θεοῦ περὶ τοῦ υἱοῦ ἐπήκουσε φωνῆς.

διὸ μᾶλλον, [Ἀρχή.] ἀδελφοὶ, σπουδάσα- 10.
τε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν
ποιεῖσθαι. ταῦτα γὰρ ποιοῦντες, οὐ μὴ
Τέλος τῆς σ. καὶ τοῦ σχήματος. πταίσητέ ποτε. [Τέλος.] οὕτω γὰρ πλου- 11.
σίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς
τὴν αἰώνιον βασιλείαν τοῦ κυρίου ἡμῶν καὶ
σω[illegible]ρος ἰησοῦ χριστοῦ. διὸ οὐκ ἀμελήσω 12.
* ἀεὶ

1, 10. Β. εἰς τὴν μεταμόρφωσιν τοῦ σωτῆρος· ἀδελφοὶ, σπουδάσατε.

8. ὑπάρχοντα] παρόντα. E. Cyrill, l. l.

9. ἁμαρτιῶν] ἁμαρτημάτων. D. Damasc II, 398. ᾧ μὴ πάρεστι γνῶσις, τυφλός — πάλαι ἁμαρτημάτων.

10. σπουδάσατε] + ἵνα διὰ τῶν καλῶν ἔργων. E. Ex meis unus Mosq. c. et infimus 13.

12. οὐκ ἀμελήσω] μελλήσω τ οὐ μελλήσω. E. Nullus nec

* ἀεὶ ὑμᾶς ὑπομιμνήσκειν περὶ τούτων, καίπερ εἰδότας καὶ ἐστηριγμένους ἐν τῇ
13. παρούσῃ ἀληθείᾳ. δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διε-
14. γείρειν ὑμᾶς ἐν ὑπομνήσει· εἰδὼς, ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς χρι-
15. στὸς ἐδήλωσέ μοι. σπουδάσω δὲ καὶ ἑκάστοτε, ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν
16. τούτων μνήμην ποιεῖσθαι. οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος.

nec malus, nec bonus Codex iſta agnoſcit, ſed peſſimi omnium. μελλήσω, quod prorſus ſtultum erat, addito οὐ probabiliter correctum. Scribae haud raro μέλλει pe duo λλ exhibent. De eo nemo dubitat, qui Codices tractavit. Ergo hic ſomnolentus aliquis ſcriba exhibuerat ἀμελλήσω. Hinc corruptio. Haec eſt illa recenſio occidentalis. Vetus Itata, nimirum Sabatierii, hoc loco, ut cum Griesbachio loquar, *hiat. Lucifer* autem *occidit.* —. *Pelago nox incubat atra.*

ὑμᾶς ἀεὶ] ἀεὶ ὑμᾶς. Sic et poſtea inveni. Aliqui omittunt ἀεί. Scilicet nec cum μελλήσω, nec cum *incipiam* conſiſtere poterat.

14. ταχινὴ] Wetſtenius, ergo etiam Griesbachius: ταχ'ση. 36. *Cod. lat.* — In latino eſt, *velox.* Ταχινὸς habet Theocrit. Id. 2, 7. 14, 40. Alii et hic, et 2, 1. exhibent ταχεινὸς et ταχυνός.

σκηνώματος] τώματος. E.

τος. λαβὼν γὰρ παρὰ θεοῦ πατρὸς τι- 17.
μὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ
τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης·
οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν
ἐγὼ εὐδόκησα. καὶ ταύτην τὴν φωνὴν 18.
ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν,
σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ. καὶ 19.
ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον,
ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ
φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα
διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς
Τέλος τῆς μεταμορφώσεως. καρδίαις ὑμῶν. [Τέλος.] [Ἀρχή.] τοῦτο 20. Γ.
πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφητεία
γραφῆς, ἰδίας ἐπιλύσεως οὐ γίνεται. οὐ 21.
γὰρ

I, 20. Γ. τῇ β. τῆς λδ. ἑβδ. ἤτοι τοῦ ἁσώτου· ἀγαπητοὶ, τοῦτο πρῶτον.

17.] Notantur haec ab Oecum. edit. I, 31. c. et in Cod. Aug. 6. Ibi primum eſt: ἰδιωτικώτερον κέχρηται τῷ λόγῳ, nimirum Petrus. Deinde: λαβὼν γὰρ ἐξουσίαν παρὰ θεοῦ πατρὸς, φωνῆς αὐτῷ ἀπ' οὐρανοῦ ἐνεχθείσης· ſed Cod. Aug. λαβὼν γὰρ παρὰ θεοῦ τιμὴν καὶ δόξαν. — Τὸ γὰρ λαβὼν, ἀντὶ τοῦ ἔλαβεν. Ath. I, 468. nominatim: λαβὼν παρὰ θεοῦ τιμὴν καὶ δόξαν.

ὄντες κ. τ. λ.] Huc, puto, potius reſpexiſſe Orig. III, 452. quam ad Matth. 3, 17.

19.] Cyrill. V, a. 368. ἕως — ὑμῶν. et 387. d. *ſecundo loco*. Nam bis iſte numerus occurrit. Attingit in caten. Niceph. I, 734.

20. ἐπιλύσεως] Nullam hic varietatem inveni. Coniectura nulla opus eſt. Verba verſ. 19. ἕως οὗ — καρδίαις ὑμῶν ſatis vindicant hanc lectionem.

Quod

γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν * ἅγιοι θεοῦ ἄνθρωποι.

Γ. πρόξενησις ἀπατηλῆς ἐπανασάσεως αἱρετικῶν, ἀσεβείας τε αὐτῶν, καὶ μελλούσης κολάσεως.

II, 1. Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐπάγοντες ἑαυτοῖς ταχινὴν
2. ἀπώλειαν. καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς * ἀσελγείαις, δι' οὓς ἡ ὁδὸς
3. τῆς ἀληθείας βλασφημηθήσεται. καὶ ἐν πλεονεξίᾳ, πλαστοῖς λόγοις, ὑμᾶς ἐμπορεύσονται·

Quod hic appellatur ἐπίλυσις, id verſu 19. eſt ἀνιγασμὸς et ἀνατολή. Senſus ergo eſt: θειοτέρας ἐπιλύσεως δεῖται. Coniecturas excitavit verſ. 21. Ἐπίλυσις ſaepe occurrit de interpretatione ſomniorum. Heliodor. p. 17. τὴν ἐπίλυσιν διαπορῶν. Et ibid. ἥκει πρὸς τὴν ἑαυτοῦ βούλησιν τὴν ἐπίλυσιν. Et 82. τῶν χρησθέντων τὴν ἐπίλυσιν. Interpretatio, quae eſt in illa vetuſta catena: ἐνῆκ αὐτοί, φησιν, ἑαυτοὺς ἠρμήνευσαν οἱ προφῆται — τὰ τῶν προφητῶν γινώσκεται λόγια, ἐπίλυσιν explicat ἑρμηνείαν.

21. οἱ ἅγιοι] οἱ —.

II, 1. ἐν τῷ λαῷ] — E. Cyrill. V, d. 77.

2. ἀπωλείαις] ἀσελγείαις. Sic et poſtea in quatuor inveni.

ἡ ὁδὸς τῆς ἀληθείας] huc trahunt Clem. Alex. 66. τὴν ὁδὸν τῆς ἀληθείας ἐμποδίζοντες. Griesbach. hoc trahere debebat ad verſ. 21.

ται· οἷς τὸ κρῖμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει. εἰ γὰρ ὁ 4.
Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας, παρ-
έδωκεν εἰς κρίσιν * τηρουμένους· καὶ ἀρ- 5.
χαίου κόσμου οὐκ ἐφείσατο, ἀλλ' ὄγδοον
νῶε, δικαιοσύνης κήρυκα, ἐφύλαξε, κατα-
κλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας· καὶ 6.
πόλεις σοδόμων καὶ γομόρρας τεφρώσας
καταστροφῇ κατέκρινεν, ὑπόδειγμα μελλόν-
των ἀσεβεῖν τεθεικάς· καὶ δίκαιον λώτ, 7.
καταπονούμενον ὑπὸ τῆς τῶν ἀθέσμων ἐν
ἀσελγείᾳ ἀναστροφῆς, ἐρρύσατο· βλέμματι 8.
γὰρ καὶ ἀκοῇ ὁ δίκαιος, ἐγκατοικῶν ἐν
αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν
ἀνόμοις ἔργοις ἐβασάνιζεν. [Ἀρχή.] οἶδε 9. Δ.
κύριος

3. οἷς κ. τ. λ.] ὧν τὸ κρίμα οὐκ ἀργεῖ. E. Cyrill. III, 204.

νυστάζει] νυστάξει. D.

4. τετηρημένους] τηρουμένους. Accedunt denuo quatuor Codd. Cyrill. attingit V, b. 127. σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν μεγάλης ἡμέρας τηρεῖσθαι κολασθησόμενον. Et VI, b. 211. ἀγγέλους γὰρ, τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν μεγάλης ἡμέρας κολασθησομένους τηρεῖν. II, 296. σειραῖς — παρέδ. εἰς κρίσιν μεγάλης ἡμέρας κολασθησομένους τηρεῖν. Sic et 723. non, ut Wetst., 713. Miſcuit ergo verſum 9 et Iud. 6. Damaſc. II, 308. ὁ θεὸς ἁμαρτ. — κρίσιν κολαζομένους τηρεῖσθαι, omiſſo ἀγγέλων. v. P.

κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους
10. τηρεῖν· [Τέλος.] μάλιστα δὲ τοὺς ὀπίσω Τέλος τῆς β
σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ πορευομένους, καὶ κυριότητος καταφρονοῦντας· τολμηταὶ,
αὐθάδεις, δόξας οὐ τρέμουσι βλασφημοῦν-
11. τες· ὅπου ἄγγελοι, ἰσχύϊ καὶ δυνάμει μείζονες ὄντες, οὐ φέρουσι κατ' αὐτῶν παρὰ
12. κυρίῳ βλάσφημον κρίσιν. οὗτοι δὲ, ὡς ἄλογα ζῶα φυσικὰ, γεγενημένα εἰς ἅλωσιν καὶ φθοράν, ἐν οἷς ἀγνοοῦσι, βλασφημοῦντες, ἐν τῇ φθορᾷ αὐτῶν καταφθαρήσονται. κομιούμενοι μισθὸν ἀδικίας, ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφήν, σπίλοι καὶ μῶμοι, ἐντρυφῶντες ἐν ταῖς ἀπάταις αὐτῶν,

II, 9. Δ. τῇ γ. τῆς λδ. ἰβδ. ἀγαπητοὶ, οἶδε κύριος εὐσεβεῖς.

9. πειρασμοῦ] πειρασμῶν. E. Rectius pluralis adhibetur. Sed in N. Teſt. ſaepius eſt ſingularis, quam hic etiam tuentur Codd. Etiam Damaſc. II, 429. 453. vulgatum. Sed 484. πειρασμῶν. *Iunius* abſtinere poterat coniectura κολασομένους. Cur non κολασθησομένους; Ath. II, 158. d. οἶδεν ὁ θεὸς εὐσεβεῖς ῥύεσθαι, ἀνόμους δὲ τηρεῖν εἰς ἡμέραν κρίσεως κολαζομένους αἰωνίῳ πυρί.

10. ἐπιθυμίᾳ] ἐπιθυμίαις. E. Recte quidem. Sed rurſus ex correct. et contra Codd.

11. παρὰ κυρίῳ] — t παρὰ κυρίου. E.

12. γεγεννημένα] γεγενημένα.

13. κομιούμενοι] ἀδικούμενοι ſine ſenſu ex proximo ἀδικίας. Vat. 1209. ſeu B. v. Birch.

ἀπάταις] ἀγάπαις. E. Ex ſolo Wetſt. A. notatur

ἀνιχῶν, συνευωχούμενοι ὑμῖν, ὀφθαλμοὺς 14.
ἔχοντες μεστοὺς μοιχαλίδος, καὶ ἀκατα-
παύστους ἁμαρτίας, δελεάζοντες ψυχὰς
ἀστηρίκτους, καρδίαν γεγυμνασμένην * πλεο-
νεξίας ἔχοντες, κατάρας τέκνα· κατα- 15.
λιπόντες * εὐθεῖαν ὁδὸν, ἐπλανήθησαν,
ἐξακο-

tur ἀγάπαις. Ἀπάταις habent omnes Codd. id. que diſerte in ve.uſta catena et in ſcholiis explicatur. Ἀγάπαις vel fortuito confuſum cum ἀγάπαις, vel temere repetitum eſt, aut ex Iud. 12. aut ex catena et ſcholiis, ubi continuo συνευωχούμενοι explicatur: οὐ δι' ἀγάπην καὶ τὸ μεταλαμβάνειν ἀλῶν, φησὶ, συνευωχοῦνται ὑμῖν, ἀλλὰ διὰ τὸ καιρὸν ἐυρίσκειν τῆς πρὸς γυναῖκας ἀπάτης ἐπιτήδειον. Sic mox divinus Wetſt. C. ſolus ex Iud. 12. intulit σπιλάδες. Tales ſunt Codices recenſionis Alexandrinae et Occidentalis!

14. μοιχαλίδος] Cum in latino eſſet *adulterii*, Wetſt. A. volebat inferre μοιχείας, temere autem ex utroque ſolus contra reliquos Codices omnes dedit μοιχαλίας. Id Grotio etiam probatum eſſe, miror. Eiusmodi συγχύσεις vocabulorum plures iam notavi. v. Luc. 11, 42.

ἀκαταπαύστους] ἀκαταπαύστου. E. Vat. B. ἀκαταπάστους. v. Birch.

πλεονεξίαις] πλεονεξίας. A. πλεονεξίας poteſt eſſe vel genitivus, vel accuſativus. v. P. In Cod. Aug. 6. ex parte hoc vocabulum deletum erat. Credebam tamen prehendere veſtigia lectionis πλεονεξίας. In ſcholio eſt: πρὸς πλεονεξίαν ἐξάσκηται ἡ καρδία. Hoc ſaltem ſingularem vindicat. Sed paullo poſt additur: καρδίαν γεγυμν. ἔχ. πλεονεξίας, τουτέστι, διὰ πλεονεξίας. Alii intelligent ἕνεκεν.

15. τὴν εὐθεῖαν] τὴν —. Damaſc. II, 627. quaedam hic

ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ, τοῦ
16. βοσὸρ, ὃς μισθὸν ἀδικίας ἠγάπησεν· ἔλεγ-
ξιν δὲ ἔσχεν ἰδίας παρανομίας· ὑποζύγιον
ἄφωνον, ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον, ἐκώ-
17. λυσε τὴν τοῦ προφήτου παραφρονίαν. οὗτοί
εἰσι πηγαὶ ἄνυδροι, νεφέλαι ὑπὸ λαίλαπος
ἐλαυ-

hic omittit. Habet enim: κατάρας τέκνα ἐπλανήθησαν ἀπὸ ὁδοῦ ἀληθείας ἐξακολ. — βαλαάμ.

16. παραφρονίαν] παραφροσύνην t παρανομίαν. E. Miror, cur non tertium addiderint παράνοιαν. Mei omnino omnes conſentiunt in vulgato. Cod. Aug. 6. ita in textu et in ſcholio habet. παραφρονία apud ſcriptores graecos equidem non reperi. Hinc duplex correctio.

17. πηγαὶ ἄνυδροι, νεφέλαι] notanda eſt duplex et diſcrepans metaphora. Hoc ideo moneo, ne quis coniiciat ἀνίδρυτοι, quia mox eſt ἐλαυνόμεναι.

νεφέλαι] καὶ ὁμίχλαι. E. Hoc nec poſtea in ullo reperi. Ex ſcholio venit. v. P. p. 96. 209. 210. Codex Aug. 6. qui cum reliquis vulgatum retinet, ita fol. πϑ. pag. 2. habet in ſcholiis: οὐκ εἰσὶν ὅλως, φησὶ, νεφέλαι διαυγεῖς — ἀλλ' ὁμίχλαι ζόφου μεσαί, οἷς ὁ ζόφος κ. τ. λ. Nota ſunt ſanctorum Patrum et in primis Chryſoſtomi iſta, οὐκ ἔφη δὲ, οὐ λέγει δὲ — ἀλλά etc. In huiusmodi locis fere plerumque contrarium probandum eſt. Centum exempla ex priore editione mea peti poſſunt. Scholii ſententia haec eſt: Petrus eos non proprio ſenſu appellavit *nubes*; *nubes* enim interdum quoque ſunt *pellucidae*: ſed *nebulas* dixit, hoc eſt, intellexit. Cur? Addidit enim: οἷς ὁ ζόφος τοῦ σκότους. Verum hoc equidem non appello *interpretari*, ſed *augari*, aut ſaltem, *arguiari*. In eodem Cod. Aug. paullo ante, ut in textu, eſt: νεφέλαις αὐτοὺς παραβάλλει ὑπὸ πνεύ-

ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται. ὑπέρογκα γὰρ ματαιό- 18.
τητος φθεγγόμενοι, δελεάζουσιν ἐν ἐπιθυμίαις, σαρκὸς * ἀσελγείαις, τοὺς ὄντως ἀπο-

πνεύματος ἐλαυνομέναις, τοῦ ἐναντίου δηλονότι. διὰ καὶ λαίλαπα αὐτὸ (id est, τὸ πνεῦμα.) ἐκάλεσεν.

18. ἐν ἀσελγείαις] ἐν — A. t ἀσελγείαις. E. σαρκὸς ἀσελγείαις est ἐπεξήγησις τοῦ, ἐν ἐπιθυμίαις. Σαρκὸς iungi etiam potest τῷ ἐπιθυμίαις. Ita ἀσελγείαις est per *appositionem*. Ἐν assumtum erat ex schol. v. Oecum. II, 547. b. Theophyl. 395. Beza: *sic restituo hunc locum ex graecis scholiis*. Atqui in scholiis est, ἐν ταῖς ἀσελγείαις.

ὄντως] ὀλίγως t ὀλίγον t ὄντας. E. Accedunt coniecturae ὀλίγου et ὄντως. Mei nihil mutant, nisi quod duo per errorem habent ὄντας, ex proximo τοὺς, infimus meorum autem 13. ὀλίγον. Scholia Oecum. et Theophyl. ll. ll., fallo distincta sunt. Distingenda sunt ita: δελεάζουσι — τοὺς ἀληθῶς ἀποφυγόντας καὶ καθάπαξ, τοὺς πρὶν (hoc est, πρὸ τοῦ ἀποφυγεῖν τὴν πλάνην) ἐν πλάνῃ ἀναστρεφομένους. Ergo ὄντως duplici modo explicatur ἀληθῶς et καθάπαξ. Verum in his scholiis frustra inculcatur πρὶν, quo non opus habemus. Sic vero etiam comma ponendum esset ante τοὺς ἐν πλάνῃ. Accedit, quod ἀποφυγόντας sic non habet, quo referatur. Sententia est: *irretiunt eos, qui vere* (iam) *aufugerant*, (se seiunxerant ab iis) *eos, qui* (adhuc) *in errore versantur*. Obiter vocabulo ὀλίγως Stephani thesauri possunt locupletari. Τοὺς ἐν πλάνῃ ἀναστρεφομένους idem est, quod τοὺς πλάνους, τοὺς πονηροὺς, τοὺς ἁμαρτωλοὺς, τὰ τοῦ κόσμου μιάσματα. Attendendum erat, quod non dixit ἀναστρεψαμένους.

ἀποφυγόντας τοὺς ἐν πλάνῃ ἀναστρεφομέ-
19. νους· ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι,
αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς. ᾧ
γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται.
20. εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ
κόσμου ἐν ἐπιγνώσει τοῦ κυρίου καὶ σωτῆρος
Ἰησοῦ χριστοῦ, τούτοις δὲ πάλιν ἐμπλακέν-
τες ἡττῶνται, γέγονεν αὐτοῖς τὰ ἔσχατα
21. χείρονα τῶν πρώτων. κρεῖττον γὰρ ἦν
αὐτοῖς, μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιο-
σύνης, ἢ ἐπιγνοῦσιν ἐπιστρέψαι ἐκ τῆς
παραδο-

ψαμένους. Mox eſt, ἀποφυγόντες τὰ μιάσματα. Propter iſtud ἀναστρεφομένους aliqui etiam correxerunt ἀποφέυγοντας, in his Theoph. quod tamen nullus meorum agnoſcit.

19. ὑπάρχοντες] ὄντες. E. Weſt. A. Sic et alibi correctum, partim, ubi verſio latina non habet *exiſtentes*, partim, ne φύσει tales eſſe viderentur. Non opus eſt monere, nullum meorum agnoſcere ὄντες. Griesbachius ipſe indignum hoc cenſuit ſua animadverſione. Nam ita ſolum habent A. 27. v. Luc. 11, 13.

ᾧ — δεδούλωται] Damaſc. II, 710.

20. εἰ] οἱ. E. Damaſc. II, 342. εἰ ἀποφ. ad verſ. 22. βορβόρου.

21. κρεῖττον γὰρ] γὰρ — E. Cyrill. V, b. 163. κρεῖσσον γάρ. III, 865. I, 334.

δικαιοσύνης] ἀληθείας. E. Ex meis nullus. "Cyrillus, inquit, Griesb." Videamus iam in iſtis VII. voluminibus, ubi? In margine mei exempli haec loca notaveram. I, g. 334. δικαιοσύνης. II, 144. ἀληθείας III, 865. δικαιοσύνης. V, b. 123. ἀληθείας et 163. vid. verſ. 22.

ἐπιγνοῦσιν ἐπιστρ. κ. τ. λ.] ἐπιγν. εἰς τὰ ὀπίσω ἀνα-

παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. συμ- 22.
βέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροι-
μίας· κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα·
καί· ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.
Τέλος τῆς γ. [Τέλος.]

Δ. ἐπανάληψις περὶ κακίας ἀνθρώπων αἱρετικῶν· ἐν ᾧς ὅτι αἰφνιδίως ἥξει χριστὸς ἐπὶ συντελείᾳ τοῦδε τοῦ αἰῶνος. ὥστε δεῖν ἐυτρεπίζεσθαι πάσῃ ἀρετῇ.

[Ἀρχή.] Ταύτην ἤδη, ἀγαπητοὶ, δευτέραν III, 1.
ὑμῖν

III, 1. E. τῇ δ. τῆς λδ. ἑβδ. ἀγαπητοὶ, ταύτην ἤδη δευτέραν.

ἀνακάμψαι ἀπὸ τῆς δοθείσης. E. Cyrill. I, g. 334. Sic, sed παραδοθείσης. II, 144. et III, 865. et V, b. 123. Sic, sed ἀπὸ (omisso τῆς) παραδ. 163. εἰς τὰ ὀπίσω ἐπιστρέψαι ἀπὸ habet ex meis solus infimus 13. Theophyl. ἐπιστρ. εἰς τὰ ὀπίσω ἀπὸ.

22. συμβέβηκε] γέγονε. E. Cyrill. V, b. 163. I, a. 543. καὶ γέγονεν. II, 551. coll. V, a. 633. συμβέβηκε. III, 865. I, g. 334.

δὲ] — E. Cyrill. I, a. 543. g. 334. γὰρ, loco δέ. III, 865. V, b. 164. Ex Cyrillo ergo versu 21. 22, efficitur? — Ut ego arbitror, minus etiam, quam nihil. Cur ergo Cyrillum laudavit Griesb.? — Nescio. — Dicas ergo, quae Codices efflagitent? — Quae ego edidi.

τὸ ἴδιον ἐξέραμα] τὸν ἴδιον ἔμετον. E. Meus infimus 13. et Theophyl. 396. sed in schol. vulgatum. v. Chrys. VIII, 199. IV, 40. Credo, ἔμετον honestius dictum esse. Utrumque proverbium notat Isidor. Pelus. lib. I. epist. 92. et 143. κύνες — πρὸς τὸν ἔμετον ὑποστρέφοντες, ἢ, ὗς τῷ βορβόρῳ — ἐγκαλινδούμενοι. v. P.

κύλισμα] κυλισμὸν meus infimus 13. et Vaticanus summus 1209. v. Birch.

ὑμῖν γράφω ἐπιστολήν, ἐν αἷς διεγείρω ὑμῶν
2. ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν· μνη-
σθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν
ἁγίων προφητῶν, καὶ τῆς τῶν ἀποστόλων *
ὑμῶν ἐντολῆς, τοῦ κυρίου καὶ σωτῆρος·
3. τοῦτο πρῶτον γινώσκοντες, ὅτι ἐλεύσονται
ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐμπαῖκται, κατὰ
τὰς ἰδίας * ἐπιθυμίας αὐτῶν πορευόμενοι·
4. καὶ λέγοντες· ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς
παρουσίας αὐτοῦ; ἀφ' ἧς γὰρ οἱ πατέρες
ἐκοιμήθησαν, πάντα οὕτω διαμένει ἀπ'
5. ἀρχῆς κτίσεως. λανθάνει γὰρ αὐτοὺς
τοῦτο θέλοντας, ὅτι οὐρανοὶ ἦσαν ἔκπαλαι,
καὶ γῆ ἐξ ὕδατος καὶ δι' ὕδατος συνεστῶσα,
6. τῷ τοῦ θεοῦ λόγῳ, δι' ὧν ὁ τότε κόσμος
7. ὕδατι κατακλυσθεὶς ἀπώλετο. οἱ δὲ νῦν
οὐρανοὶ καὶ ἡ γῆ τῷ * αὐτοῦ λόγῳ τεθη-
σαυ-

III, 2. ἀποστόλων ἡμῶν] ἀποστ. ὑμῶν. Vide Iud. 17. Temere a non nullis laudatus est Cyrill. Etenim V, d. 21. non hunc, sed Iudae locum videtur respexisse.

3. ἡμερῶν] + ἐν ἐμπαιγμονῇ. E. Unus solus meorum addit ἐμπαιγμονῇ. In latina vulgata est: *in deceptione illusores*, quod potius est ἐν ἀπάτῃ. Istorum vocabulorum nec in catena, nec in scholiis ullum est vestigium. Ex Cyrillo inculcata videntur, sed alieno loco.

ἰδίας ἐπιθυμίας] ἐπιθυμίας αὐτῶν.

5. συνεστῶσα] συνεστώσης. E. Vat. 1209. seu B.

7. αὐτῷ λόγῳ] αὐτοῦ λόγῳ.

σαυρισμένοι εἰσὶ πυρὶ, τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν ἀσεβῶν ἀνθρώπων. ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς, 8.
ἀγαπητοί, ὅτι μία ἡμέρα παρὰ κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς ἡμέρα μία.
οὐ βραδύνει ὁ κύριος τῆς ἐπαγγελίας, ὥς 9.
τινες βραδυτῆτα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ εἰς ἡμᾶς, μὴ βουλόμενός τινας ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι. ἥξει δὲ ἡ ἡμέρα κυρίου ὡς κλέπτης ἐν 10.
νυκτὶ, ἐν ᾗ * οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται.

τού-

εἰσὶ πυρὶ] alii ante, alii poſt πυρὶ comma habent. ἐν, ante πυρὶ, quod unus meorum habet, punctis notatum, ut tollendum.

10. δὲ] γάρ. E. Cyrill. II, 707. Sic, omiſſo ἡ. 901.

ἐν νυκτὶ] — E. Illatum videri poſſit ex loco ſimili. Sed contra ſunt meliores Codd. Omittit Cyrill. II, 707. 901. III, 801. ubi negligentius laudat. Servat Damaſc. II, 347. ſed mox vitioſe ἐν οἱ οὐρ. μέν.

ᾗ οἱ οὐρανοὶ] οἱ —. Cyrill. II, 467. μὲν οἱ 707. μὲν 901. ᾗ οὐρ. μὲν. ῥοιζ. III, 865. ᾗ οἱ οὐρανοὶ μέν.

λυθήσονται] λυθήσεται, γῆ καί. E. Cyrill. II, 467. ληθήσονται γῆ δὲ καί. 707. λυθήσεται, γῆ δὲ καί. 901. ληθήσονται γῆ δὲ καί. III, 865.

κατακαήσεται] ἐυρεθήσεται t + πάντα. E. Sic Cyrill. II, 467. qui continuo addit verſ. 13. κατακαυθήσονται πάντα et continuo verſ. 13. 707. αὐτῇ πάντα κατακαυθήσεται et mox verſ. 13. 901.

κατα-

11. τούτων οὖν πάντων λυομένων, ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ
12. εὐσεβείαις προσδοκῶντας καὶ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ θεοῦ ἡμέρας, δι' ἣν οὐρανοὶ πυρούμενοι λυθήσονται, καὶ στοιχεῖα
13. καυσούμενα τήκεται; καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ. διὸ,

καταλαήσεται πάντα et mox vers. 13. III, 865. Ergo quater iungit 10. et 13. ἐυρεθήσεται legitur in folis Wetst. 29. Vat. 1209. Vind. 34. a manu secunda et in meo Mosq. g. Haud dubie aliquis, loco καταλαήσεται, posuerat interpretationem, οὐκ ἐυρεθήσεται.

11. τούτων οὖν πάντων] ἀλλὰ τούτων ἁπάντων. E. Cyrill. I, a. 288.

ὑπάρχειν ὑμᾶς] ἐυρεθῆναι ἡμᾶς. E. Cyrill. I, a. 288. quae deinceps leguntur pro arbitrio mutat.

12. θεοῦ] κυρίου. E. v. Birch. Griesbachius inquit: *Cyrillus saepe.* Iqterrogo, ubi? *Apud Wetsteinium*, respondet. Audio. Sed bonus Wetst. errore facili et humano versum 12. cum 13. permutavit. Huiusmodi errores et mendacia propagantur, cum alter alterum exscribit. Idem Wetsteinius duplici modo hic erravit in laudando Damascено.

τήκεται] τακήσεται t τακήσονται. E.

13. γῆν — ἐπάγγελμα] καινὴν γῆν κατὰ ἐπαγγέλματα. E. Cyrill. II, 467. Sic, sed κατὰ τὰ ἐπαγγ. 707. καινὴν γῆν καὶ τὰ ἐπαγγέλματα. 901. 932. 855. 919. καινὴν γῆν κατὰ τὰ ἐπαγγέλματα. III, 865. I, g. 34. Cyrillus ergo a Griesbachio pro utroque laudari poterat. Nullus bonus Codex hic varietatem habet. Immo nec deteriores, nisi unus infimus Wetst. A.

διὸ, ἀγαπητοὶ, ταῦτα προσδοκῶντες, σπου- 14.
δάσατε ἄσπιλοι καὶ ἀμώμητοι αὐτῷ εὑρε-
θῆναι ἐν εἰρήνῃ· καὶ τὴν τοῦ κυρίου ἡμῶν 15.
μακροθυμίαν, σωτηρίαν ἡγεῖσθε· καθὼς
καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς παῦλος
κατὰ τὴν αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν
ὑμῖν, ὡς καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς, 16.
λαλῶν ἐν αὐταῖς περὶ τούτων, ἐν οἷς ἐστι
δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστή-
ρικτοι στρεβλοῦσιν, ὡς καὶ τὰς λοιπὰς γρα-
φὰς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν.
ὑμεῖς οὖν, ἀγαπητοὶ, προγινώσκοντες, φύ- 17.
λάσσεσθε, ἵνα μὴ, τῇ τῶν ἀθέσμων πλάνῃ
συναπαχθέντες, ἐκπέσητε τοῦ ἰδίου στηριγ-
μοῦ· αὐξάνετε δὲ ἐν χάριτι καὶ γνώσει 18.
τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος ἰησοῦ χριστοῦ.
αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶ-
τέλος τῆς δ. νος. ἀμήν. [Τέλος.]

Τοῦ ἁγίου ἀποστόλου πέτρου ἐπιστολὴ
καθολικὴ δευτέρα. στίχων. ρξ.

14. ἀμώμητοι] ἄμωμοι. E. Ita ſolus infimus meorum 13. Ex negligentia.

15. τὴν τοῦ — ἡγεῖσθε] Laudat, omiſſo ἡμῶν, Damaſc. II, 709. Hunc locum notat de Paulo et Petro diſſerens Oecum. I, 729. ubi verſ. 16. vocabulum στρεβλοῦσι mutat in διαστρέφειν.

16. ἐν οἷς] ἐν αἷς. E. Ita tres ex meis et Theophyl.

18. χριστοῦ αὐτῷ] χριστοῦ καὶ θεοῦ πατρὸς ᾧ. E. Infimus meorum 13. et Theophyl.

Ἰωάννου

Ἰωάννου
καθολικὴ
Ἐπιστολὴ
πρώτη.

Α. Εὐαγγελικὴ θεολογία χρεισοῦ· ἐν ᾗ, περὶ ἐξομολογήσεως καὶ προσοχῆς εἰς τὸ μὴ ἁμαρτάνειν. ὅτι τήρησις ἐντολῶν θεοῦ τὴν γνῶσιν βεβαιοῖ.

1. I, 1. [Ἀρχή.] Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψη-
2. λάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα,
3. καὶ ἐφανερώθη ἡμῖν. ὃ ἑωράκαμεν καὶ ἀκη-

1, 1. A. μαΐου η. τοῦ ἁγίου ἰωάννου τοῦ θεολόγου. [ἐν ἄλλῳ· ἀνάγνωσμα α. εἰς τὴν παραμονὴν τοῦ ἁγίου ἀποστόλου θεολόγου·] Ὃ ἦν ἀπ' ἀρχῆς.

1, 1.] Hunc verſ. aliquoties laudat Orig. I, 364. 718. II, 43, IV, 367. Primum et ſecundum. Ath. I, 505. 698. II, 9. Cyrill. IV, 368. V, a. 302. 365. 367. 384. 565. 568. 686. 712. V, d. 11. 93. VI, a. 57. 139. 161.

ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν· καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. καὶ ταῦτα γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ *4. ἡμῶν ᾖ πεπληρωμένη. καὶ * ἔστιν αὕτη 5. ἡ * ἀγγελία, ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ, καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ θεὸς φῶς ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία. ἐὰν 6. εἴπωμεν, ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν· ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς 7. αὐτός

3. ἀπαγγέλλομεν] + καί. E. ante ἀπαγγ. addit καὶ Theophyl.

δὲ ἡ] δὲ — E. Ex Gregor. edit. exciderat ἡ. Laudat Cyrill. IV. 799. καὶ ἡ — Χριστοῦ.

4. χαρὰ ὑμῶν] χαρὰ ἡμῶν. A. In vetusta catena: χαρᾶς ἐσόμεθα μετοί, ὅτι τῷ θεῷ ἐκολλήθημεν. Ergo ἡμῶν. Sic et in schol. a me editis. Oecum. II, 562. χαρᾶς ἂν πληρωθείημεν, et πλείστην ἔχομεν τὴν χάριν. Posterius habet etiam Theophyl.

5. ἄυτη ἐστὶν] ἔστιν αὕτη. A. Sic et postea in tribus inveni et apud Theophyl.

ἐπαγγελία] ἀγγελία. Sic postea in tribus inveni atque etiam in unius scholiis. Ἐπαγγελία prorsus est alienum. Deberet saltem esse ἀπαγγελία. v. 1, 3, 11.

ἀναγγέλλομεν] ἀπαγγέλλομεν. E.

6. ἐὰν] καὶ ἐὰν. E. Clem. Alex. 439. Nominatim.

7. ἐὰν δὲ ἐν — ἀλλήλων] ἐὰν ἐν — ἀλλήλων. Cyrill. V, a. 368.

αὐτός ἐστιν ἐν τῷ φωτὶ, κοινωνίαν ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ
I, 8. πάσης ἁμαρτίας. [Τέλος.] [Ἀρχή.] ἐὰν εἴπωμεν, ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν
9. ἡμῖν. ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ
10. πάσης ἀδικίας. ἐὰν εἴπωμεν, ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν, καὶ
II, 1. ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν. Τεκνία μου,

Τέλος τοῦ ἁγίου.

I, 8. B. τῇ s. τῆς λδ. ἰβδ. ἀγαπητοὶ, ἐὰν εἴπωμεν, ὅτι.

αὐτός ἐστιν] ἐστιν — E. Clem. Alex. l. 1. et αὐτοῦ, loco ἀλλήλων. Quem usum praestant hae varietates Clementis? Scilicet, quem alibi praestant. Nimirum hunc, ut consulamus Codices ex ipso et ex aliis non corruptos.

τὸ αἷμα — ἁμαρτίας] Sic, omisso τοῦ υἱοῦ αὐτοῦ. E. Cyrill. V, c. 126. Servat, sed χριστοῦ omittit Clem. Alex. l. l. ibid. τῆς, loco πάσης.

8.] Sine variet. Cyrill. V, a. 370. Sed Damasc. II, 342. καὶ ἀλήθεια ἐν ἡμῖν οὐκ ἔστιν. Πλανῶμεν Theophyl. 407. d. interpretatur ἀπατῶμεν. Iam cum id cuivis Graeco in mentem venire potuerit, Theophanes Cerameus ita exhibet p. 102. d.

9. ὁμολογῶμεν] ὁμολογήσωμεν. E. Damasc. II, 580. ibi etiam abest, πιστὸς — ἁμαρτίας. Mox est, καθαρίσει.

10. ὁ λόγος — ἡμῖν] οὐκ ἔστιν ἐν ἡμῖν ὁ λόγος αὐτοῦ. E. Cyrill. V, a. 367.

μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε· καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον· καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν 2. ἁμαρτιῶν ἡμῶν· οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι ἐγνώκαμεν 3. αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. ὁ λέγων, ἔγνωκα αὐτὸν, καὶ τὰς ἐντολὰς 4. αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστὶ, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν· ὃς δ' ἂν τηρῇ αὐ- 5. τοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται. ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ ἐσμέν. ὁ λέγων ἐν αὐτῷ 6. μένειν,

II, 1. et 2.] Cyrillus notat IV, 809. I, a. 159. 294. 306. I, g. 368. 375. III, 550. 661. V, b. 106. V, c. 127. Damasc. II, 580. Orig. IV, 24. 39. 154. 159.

2.] Clem. Alex. 264. Orig. I, 480. 521. 751. II, 829. III, 214. 215. Ath. I, 963. 973.

μόνον] + ἁμαρτιῶν. E. Clem. Alex. 265. quod ibi addendum erat post parenthelin.

4.] Sine varietate Cyrill. V, a. 370.

λέγων] + ὅτι. E. Aliqui Codd. et Clem. Alex. Idem tamen omittit. 444. Id graeci saepe addere solent.

αὐτὸν] τὸν κύριον. E. Perspicuitatis causa Clem. Alex. 444. priori loco vulgatum.

5. ἐν τούτῳ ad fin. 6.] ultimum ὄντως — E. Cyrill. IV, 799. 858.

μένειν, ὀφείλεις, καθὼς ἐκεῖνος περιεπάτησε, καὶ αὐτὸς οὕτω περιπατεῖν. [Τέλος.] Τέλος της α

Β. περὶ ἀγάπης, ἧς ἄνευ ἀσέβεια· ἐν ᾗ, παραίνεσις περὶ χάριτος ἑκάστου καθ' ἡλικίαν. καὶ περὶ ἀποτροπῆς τῆς πρὸς τὸν κόσμον ἀγάπης.

Γ. 7. [Ἀρχή.] ἀδελφοί, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν παλαιὰν, ἣν εἴχετε ἀπ' ἀρχῆς. ἡ ἐντολὴ ἡ παλαιά, ἔστιν ὁ λό-
8. γος, ὃν ἠκούσατε ἀπ' ἀρχῆς. πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ, καὶ ἐν ὑμῖν· ὅτι ἡ σκοτία παράγεται, καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαί-
